eul_wid: wus-ao

*Σοῦδα* · Suda

# Lexicon, Letter O

## *Σοῦδα, Στοιχεῖον O*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

1 Ὄα: ἀκροδρύων εἶδος, μήλοις μικροῖς ἐμφερές. ὀπώρα, ἡ ὄα.

2 Ὀαρίζω: τὸ γυναιξὶ λαλῶ. ὄαρος γὰρ ἡ ὁμιλία.

3 Ὀαρισμοί: διαλογισμοί.

4 Ὀαριστύς: γυναικώδης ὅμιλος.

5 Ὀβελίας ἄρτος.

6 Ὀβελός· καὶ Ὀβελίσκος, ἡ σούβλα. Ξενοφῶν· ἐπάταξεν ἔνδον βουπόρῳ τις ὀβελίσκῳ διαμπερὲς τὸν μηρὸν τοῦ ἐγγυτάτω. καὶ παροιμία· Τὸ θερμὸν τοῦ ὀβελοῦ. ἐπὶ τῶν τὰ χείρονα ἀντὶ τῶν κρειττόνων αἱρουμένων.

7 Ὀβολός: ὁ τόκος. εἶδος νομίσματος. ὀβολὸς δὲ παρὰ Ἀθηναίοις ἕξ ἐστι χαλκῶν, ὁ δὲ χαλκοῦς λεπτῶν ζʹ. τὸ δὲ τάλαντον τοῦ ἀργυρίου τῶν νῦν δʹ καὶ νομισμάτων ηʹ καὶ ϛʹ· ἡ δὲ μνᾶ ἑξηκοστόν ἐστι τοῦ ταλάντου. τὸ δὲ τάλαντον τοῦ χρυσίου ἑξαπλάσιόν ἐστι.

8 Ὀβολοῦ κοριάννοις τὴν βουλὴν ἀναλαβὼν ἐλήλυθα: Ἀριστοφάνης. ἀντὶ τοῦ συναρπάσας ἱκανοὺς καὶ κουφίσας καὶ μετεωρίσας εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ ἔπεισα ῥέπειν. Ὀβολοὶ δέ εἰσιν οὓς καλοῦμεν φόλλεις. ὁ Ἰουστινιανός, τῶν ἀργυραμοιβῶν ὑπὲρ ἑνὸς στατῆρος χρυσοῦ προΐεσθαι τοῖς ξυμβάλλουσιν εἰωθότων ιʹ καὶ σʹ ὀβολούς, αὐτὸς ἐπιτεχνώμενος κέρδη οἰκεῖα πʹ καὶ ρʹ μόνους ὑπὲρ τοῦ στατῆρος διετάξατο δίδοσθαι ὀβολούς. καὶ αὖθις Ἀριστοφάνης· φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ δύ’ ὀβολώ. διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος δύο ὀβολούς. λέγεται καὶ τριώβολον, τῶν στρατηγῶν βλακείας χάριν προστιθέντων. ζήτει περὶ ὀβολοῦ ἐν τῷ ἀσσάρια.

9 Ὀβολοστατεῖ: ἀντὶ τοῦ δανείζει. Λυσίας· οὐδ’ ἂν οἱ πολλοὶ ἐλάττονα τόκον λογίσαιτό τις, ἢ ὅσον οὗτοι ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται. ἔλεγον δὲ ὀβολοστάτας τοὺς δανειστάς, ὡς Ὑπερίδης καὶ ἡ κωμῳδία.

10 Ὀβολοστάτης. χρησμὸς Πυθίας· ὃ βούλομαι δός, μὴ δίδου δ’, ὃ μὴ θέλω.

11 Ὁ βωμός: πρὸς τὸ ἱερόν.

12 Ὀβριμοεργός: ὁ μεγάλα ἔργα ποιῶν.

13 Ὄβριμος: ἰσχυρός.

14 Ὄβρων: ὄνομα πόλεως.

15 Ὄβρυζον χρυσίον: τὸ πολλάκις ἑψηθέν, τὸ καθαρώτατον.

○ 16 Ὀγδόη: ἡ μέλλουσα κατάστασις. δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ.

○ 17 Ὀγδοήκοντα καὶ Ὀγδώκοντα. ἀλλ' ἐπὶ τούτοις Κλείτων ὀγδώκοντ' ἐξεπλήρως' ἔτεα.

○ 18 Ὀγδοηκοστός· ὁ Ὀγδοηκονταέτης.

○ 19 Ὄγκινοι· ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω.

○ 20 Ὄγκιον: ἀγγεῖον, ἐν ᾧ τὰ σίδηρα.

○ 21 Ὄγκος: τὸ βάρος. Σοφοκλῆς· μικρὸς προσήκεις ὄγκος ἐν μικρῷ κύτει. περὶ τῶν Ὀρέστου λειψάνων. καὶ ἐν Τραχινίαις· ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν μητρῷον; καὶ Εὔογκον, τὸ εὐβάστακτον.

○ 22 Ὄγκος· Πισίδης· εἰς τρεῖς γὰρ ὄγκους τὸν στρατὸν περισχίσας ὑφεῖλκε τοὺς σούς, τῷ δοκεῖν περιτρέχων. Μαυρίκιος δὲ ὁ βασιλεὺς συνεκέρασεν ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ πραότητα. καὶ αὖθις· Καρτερὸς ὁ Μακεδὼν μέγιστός τε ὀφθῆναι καὶ οὐ πρόσω ὄγκου βασιλικοῦ.

○ 23 Ὄγκοι: αἱ ἀκίδες.

○ 24 Ὀγκύλλεσθαι: ὑψαυχενεῖν καὶ ὄγκους περιβάλλεσθαι, σεμνύνεσθαι. ἐν τῷ περὶ Εἰρήνης δράματι φησὶν Ἀριστοφάνης· ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖς κάλοις· εἶτα μὴ ἑλκόντων φησιν· καὶ ὀγκύλλεσθε. καὶ αὖθις Ἀριστοφάνης· οἷον ὀγκύλλεσθε. ἀντὶ τοῦ οἷα ἐπερείδεσθε μὲν τῷ σχοινίῳ προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ· ἢ τὸν ὄγκον περιβάλλεσθε καὶ ἀλαζονεύεσθε καὶ ὑπερηφανεύεσθε. ὡς φιλοπόλεμοι δὲ οὐχ εἷλκον, ἢ ὡς ἔκσπονδοι.

○ 25 Ὀγκυλώμενος: ὑπερήφανος.

○ 26 Ὄγμος: ἡ κατὰ στίχον ἔφοδος τῶν θεριστῶν. καὶ ὄγμοι σταχύων. καὶ Σοφοκλῆς· φορβῆς χρείᾳ στίβον ὀγμεύει τόνδε πέλας που. καὶ Ἐπόγμιος Δημήτηρ, ἡ ἔφορος τοῦ θέρους. ἐν Ἐπιγράμμασι· τὰν ὄϊν, ὦ Δάματερ ἐπόγμιε, τάν τ' ἀκέρωτον μόσχον.

○ 27 Ὄγχναι: ἀχράδες, ἢ ἄπιοι.

○ 28 Ὀδάξ: τοῖς ὀδοῦσιν ἐνδεδηχότως. Διόγενες, ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος ἐς ἄϊδος; ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

○ 29 Ὀδαξησμός: κνησμός, καὶ ὀδόντων τρισμός.

○ 30 Ὁδαῖα: τὰ ἐφόδια.

○ 31 Ὀδαίναθος, ἀπὸ Συρίας. οὗτος τῷ φιλοσόφῳ Πλουτάρχῳ συνὼν ἀποριῶν ἐνεπίπλα τὰς τοῦ διδασκάλου διατριβὰς καὶ οὐκ εἴα τὸν λόγον ἀνύτειν συμποδιζόμενον. ἀλλὰ πρὸς σύνεσιν τοῦ ἀληθοῦς ἐνδεέστερος ἦν ὁ Ὀδαίναθος. οὔκουν οἴεσθαι δεῖν ἐκεῖνος ἠξίου τὸν φιλόσοφον ἐρωτᾶσθαι, οὐδὲ ἀποκρίνεσθαι ἐκ τοῦ παρατυχόντος ὁτιοῦν· μάλιστα δὲ χαλεπὸν καὶ ἐγγύς τι ἀδύνατον εἶναι περὶ θεῶν τι λέγειν ἢ φρονεῖν, ἀνθρώπους ὄντας.

○ 32 Ὅδε ἐγώ: αὐτὸς ἐγώ.

○ 33 Ὃ δέ τις: ἀντὶ τοῦ ἄλλος δέ τις.

○ 34 Ὁ δεῖνα καλός: ἴδιον ἐραστῶν ἦν τὸ τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις ἢ δένδροις ἢ φύλλοις δένδρων, οὕτως, ὁ δεῖνα καλός. τοῦ δεῖνος, τὸν δεῖνα, τῷ δεῖνι.

○ 35 Ὁδηγία: ἡ προπομπή.

○ 36 Ὁδηγῶ· αἰτιατικῇ.

○ 37 Ὄδησθος: ὄνομα κύριον.

○ 38 Ὀδησσός: ὄνομα πόλεως.

○ 39 Ὀδίος: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

40 Ὁ Διὸς Κόρινθος: παροιμία ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δ’ οὐ καλῶς ἀπαλλαξάντων.

41 Ὀδίωνος.

42 Ὁδίτης: ὁδοιπόρος.

43 Ὀδμή: ἀποφορά, ὀσμή.

44 Ὀδόμαντες: ἔθνος Θρᾳκικόν. Ἀριστοφάνης· τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν; ἀντὶ τοῦ ἔτιλεν.

45 Ὁδοποιῶ· αἰτιατικῇ.

46 Ὀδός: οὐδός. Σοφοκλῆς· ἐπεὶ δ’ ἀφῖκτο τὸν καταφράκτην ὀδόν, (τουτέστι τὴν φλιάν), χαλκοῖσι γῆθεν ἐρριζωμένον. περὶ τοῦ ᾅδου φησί.

47 Ὁδός· Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους· ἢ ἐν ὁδῷ καθελών. ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ. τοιοῦτον δὲ καὶ τὸ Ὁμηρικόν· ἢ ὁδὸν ἐλθέμεναι. εἰ δὲ ψιλωθείη ἡ προτέρα συλλαβή, σημαίνει τὸν βαθμόν.

48 Ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς: τὸ λεγόμενον. Ἀριστοφάνης Ἀναγύρῳ· ὅρμου παρόντος, τὴν ἀτραπὸν κατερρύην. καὶ ὁδῷ· βίῳ, ἔργῳ, πίστει. Δαυίδ· καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη.

49 Ὁδοὶ καὶ πολιτεῖαι· ζήτει ἐν τῷ βίος.

50 Ὀδώδασιν.

51 Ὄδωδεν: ὄζει. ἧς καὶ ὑπ’ εὐώδει τύμβος ὄδωδε κρόκῳ. περὶ Λαΐδος ὁ λόγος τῆς ἑταίρας.

52 Ὀδωδώς: ὄζων. καὶ Ὀδωδότι.

53 Ὁδωτὴ θάλασσα.

54 Ὁδοιδόκος: ὁ ἐν ταῖς ὁδοῖς πανοῦργος κλώψ. καὶ Ὁδοιδοκῶ, τὰς ὁδοὺς ἐπιτηρῶ.

55 Ὁδοιπορία. καὶ Ὁδοιπόριον, τὴν ἐπὶ τῷ συμπλεῦσαι εὐωχίαν.

56 Ὀδύνη: πόνος.

57 Ὀδυνηρός.

58 Ὀδυνήφατος: ἡ τὰς ὀδύνας ἀφανίζουσα.

59 Ὀδύρω· Ὀδύρωμαι δὲ ἀντὶ τοῦ ὀδυροῦμαι μέλλοντος. καὶ ὁ Λιβάνιος. νυνὶ δὲ τὴν κόνιν σιγῇ ὀδύρωμαι.

60 Ὀδύρομαι· αἰτιατικῇ.

61 Ὀδρύσαι: ὄνομα ἔθνους.

62 Ὀδυρτική: κατ’ ἐναλλαγὴν τοῦ ρ Ὀδύρση, τουτέστι Θρᾳκική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι· τουτέστι θρῆνον ἐμποιοῦσα καὶ ὀδυρμόν. Ἀριστοφάνης· λόγχη τις ἐμπέπηγέ μοι δι’ ὀστέων ὀδυρτή.

63 Ὀδύσσεια. καὶ Ὀδύσσειος μηχανή, ἐπὶ τῶν πανούργων. ὁ δὲ καταδὺς εἰς πᾶσαν Ὀδύσσειον καὶ πολύπλοκον μηχανὴν τὸν βίον ἤνυε. καὶ αὖθις· Ὀδύσσειόν τινα καὶ Θεμιστόκλειον παρεληλυθὼς πανουργίαν. ζήτει Ὀδυσσέως περὶ κλοπῆς Παλλαδίου ἐν τῷ Διομήδειος ἀνάγκη.

64 Ὁ ἐν Τεμέσῃ ἥρως: ὅταν τις ἀπαιτῶν τι μᾶλλον προσοφείλων εὑρεθῇ, τότε λέγεται ὁ ἐν Τεμέσῃ ἥρως.

65 Ὀζᾶν· ὅτι Δαβὶδ μετὰ τὸ νικῆσαι τοὺς Παλαιστίνους συναθροίσας πάντας τοὺς ἐν ἀκμῇ παραγίνεται ἐπὶ τὴν κιβωτόν, ἣ ἔκειτο εἰς Καριαθαμά· ἣν βαστάσαντες ἐκ τῆς Ἀμιναδάβου οἰκίας, ἐπιθέντες ἐφ’ ἅμαξαν καινὴν ἕλκειν ἀδελφοῖς τε καὶ παισὶν ἐπέτρεψαν μετὰ βοῦν. προῆγε δ’ ὁ βασιλεὺς καὶ σὺν αὐτῷ τὸ πλῆθος, ὑμνοῦντες τὸν θεὸν καὶ ᾄδοντες πᾶν εἶδος ἐπιχώριον, σύν τε ὄχλῳ ποικίλῳ κρουμάτων καὶ ὀρχήσεων καὶ ψαλμῶν, κατάγοντες τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κιβωτὸν εἰς Ἱεροσόλυμα. ὡς δ’ ἧκον ἄχρι Χείδονος ἅλωνος, οὕτω καλουμένου τόπου, τελευτᾷ Ὀζᾶς κατ’ ὀργὴν θεοῦ· τῶν βοῶν γὰρ ἐπινευσάντων τὴν κιβωτόν, ἐκτείναντος τὴν χεῖρα καὶ κατασχεῖν θελήσαντος, ὅτι μὴ ὢν ἱερεὺς ἥψατο ταύτης, ἀποθανεῖν ἐποίησεν. ὁ δὲ λαὸς καὶ ὁ βασιλεὺς ἐδυσφόρησαν ἐπὶ τῷ θανάτῳ τοῦ Ὀζᾶ.

66 Ὄζαι: τὰ δέρματα τῶν ὀνάγρων.

67 Ὄζειν· Ἀριστοφάνης· ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μεγίστων πραγμάτων μοι δοκεῖ· καὶ μάλιστ’ ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος. οὗτος τύραννος ἦν, ὃς ἐποίησε τοὺς Ἀθηναίους κατωνάκας φορεῖν, ὅπως μὴ δυνηθῶσι προενεγκεῖν τὰς χεῖρας. τοῦτον δὲ κατέλευσαν Λακεδαιμόνιοι. δʹ ὄντων τῶν Πεισιστρατιδῶν, ὁ δὲ Ἱππίας πρεσβύτερος ἦν τῶν ἄλλων καὶ τυραννίαν ὑπέθετο.

68 Ὀζίας, Ἀμασίου υἱός, ἀγαθὸς καὶ δίκαιος τὴν φύσιν καὶ μεγαλόφρων καὶ προνοῆσαι πραγμάτων φιλοπονώτατος καὶ πολλοὺς πολέμους νενικηκὼς καὶ πάντα μέχρι τῶν Αἰγυπτίων ὅρων χειρωσάμενος τῶν Ἱεροσολύμων ἤρχετο ποιεῖσθαι τὸ λοιπὸν τὴν ἐπιμέλειαν· καὶ τῶν τειχῶν ὅσα ὑπὸ χρόνου κατεβέβλητο προσῳκοδόμησε καὶ πύργους πολλοὺς ὀκτὼ πήχεων καὶ ἑκατὸν καὶ φρουροὺς ἐνετείχισε τοῖς ἐρήμοις χωρίοις, καὶ πολλοὺς ὀχετοὺς ὤρυξεν ὑδάτων. κτηνῶν ἄπειρόν τι πλῆθος. γεωργὸς δ’ ὢν σφόδρα τῆς γῆς ἐπεμελεῖτο. στρατιᾶς δ’ εἶχεν ἐπιλέκτου μυριάδας ζʹ καὶ λʹ, ταξιάρχας ͵βʹ καὶ ὅπλα παντοῖα. γενόμενος δὲ ἐν τοιαύτῃ συντάξει καὶ παρασκευῇ διεφθάρη τὴν διάνοιαν ὑπὸ τύφου καὶ χαυνωθεὶς θνητῇ περιουσίᾳ τῆς ἀθανάτου καὶ πρὸς ἅπαντα διαρκοῦς τὸν χρόνον ἰσχύος ὠλιγώρησεν· αὕτη δ’ ἦν ἡ πρὸς τὸν θεὸν εὐσέβεια καὶ τὸ τηρεῖν τὰ νόμιμα. ὤλισθε δ’ ὑπ’ εὐπραξίας καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα, πρὸς ἃ κἀκεῖνον ἡ τῶν ἀγαθῶν λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα προστῆναι καλῶς αὐτῶν, ἤγαγεν. ἐνστάσης δ’ ἡμέρας ἐπισήμου καὶ πάνδημον ἑορτὴν ἐχούσης, ἐνδὺς ἱερατικὴν στολὴν εἰσῆλθεν εἰς τὸ τέμενος, ἐπιθυσιάσων ἐπὶ τοῦ χρυσοῦ βωμοῦ τῷ θεῷ. τοῦ δὲ ἀρχιερέως Ζαχαρίου καὶ τῶν ὄντων σὺν αὐτῷ ἐξ Ἀαρὼν γένους καταβοώντων διεξιέναι καὶ τῶν ὀγδοήκοντα ἱερέων (οὐ γὰρ ἐξὸν ἐπιθύειν εἶπον, μόνοις δ’ ἐφεῖται τοῦτο ποιεῖν τοῖς ἀπὸ τοῦ γένους Ἀαρών), καὶ μὴ παρανομεῖν εἰς τὸν θεόν, ὀργισθεὶς ἠπείλησεν αὐτοῖς θάνατον, εἰ μὴ τὴν ἡσυχίαν ἄξουσιν.

69 Ὀζίας, βασιλεὺς Ἰσραήλ. οὗτος εὐσεβὴς ἦν καὶ εὐοδούμενος ἐπήρθη καὶ εἰς ἀπόνοιαν ἐλθὼν ἠθέλησε θυμιάσαι τῷ θεῷ αὐτὸς δι’ ἑαυτοῦ, ὅπερ μόνοις ἐξῆν τοῖς ἱερεῦσι. καὶ θυμιάσας ἐν τῷ ναῷ εὐθὺς ἐλεπρώθη. ἐξανέτειλε γὰρ ἡ λέπρα ἐν τῷ μετώπῳ αὐτοῦ ἐν οἴκῳ κυρίου· καὶ κατέσπασεν αὐτὸν ἐκεῖθεν.

70 Ὀζόλης: ἐθνικόν.

71 Ὄζος: κλάδος.

72 Ὄζουσιν: εὐωδίας πλήρεις εἰσίν. αὐταὶ μὲν ὄζους’ ἀμβροσίης καὶ νέκταρος. ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. λέγει δὲ περὶ τῆς τῶν Διονυσίων ἑορτῆς.

73 Ὄζω. Ἀριστοφάνης Πλούτῳ· ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου. ἀντὶ τοῦ ὀσμὴν ἡδεῖαν ἔλεγεν εἶναι ἀπὸ τοῦ σώματός μου.

74 Ὄζων κἀκ τῶν μασχαλῶν πατρὸς τραγασαίου· Ἀριστοφάνης· οὐδ’ ὥσπερ ὁ πονηρὸς Ἀρτέμων, ὁ ταχὺς ἄγαν τὴν μουσικὴν ὄζων κἀκ τῶν μασχαλῶν πατρὸς Τραγασαίου. οὗτος ἐπὶ δυσοσμίᾳ διεβάλλετο, διὰ τὴν τράγων δυσωδίαν. ἦν δὲ μελοποιός.

75 Ὄζωνος: ὄνομα κύριον.

76 Ὀζωτά· Ἀριστοφάνης περὶ Εὐριπίδου φησίν· ὀζωτὰ καὶ στιλφωτά· ἅπερ, ὡς αὐτός φησι, καταπυγοσύνη ταῦτά ἐστι πρὸς κρέας μέγα.

77 Ὅθεν αἱ τριήρεις αἱ καλαί: τουτέστιν ἐξ Ἀθηνῶν· μέγα γὰρ ἐφρόνουν Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ. εἰρηκότος γάρ· ποδαπὸν τὸ γένος; εἶπον, ὅθεν αἱ τριήρεις αἱ καλαί.

78 Ὅθι: ὅπου.

79 Ὀθόναις: λεπτοῖς ὑφάσμασι· καὶ πᾶν τὸ ἰσχνόν, κἂν μὴ λινοῦν ᾖ. τήν τε γὰρ σχοῖνον, δι’ ἧς ἡ ὀθόνη ἐπὶ τὴν τοῦ ἱστοῦ ἀνάγεται κεραίαν, δρεπάνῳ ἐξέτεμον. τὸ ἄρμενον λέγει.

80 Ὀθόνη: πᾶν τὸ λεπτὸν ὕφασμα. σκωπτόλαι τε καὶ ὑβρισταὶ καὶ δεδώκασι τῇ ὀθόνῃ μᾶλλον ἢ σοφίᾳ Ἀθηναῖοι.

81 Ὄθω: τὸ ἐπιστροφὴν ποιοῦμαι.

82 Ὄθων, ὁ μετὰ Γάλβαν βασιλεύσας, γένους ἀσήμου καὶ ἀφανοῦς ὢν καὶ τὸν ἔμπροσθεν βίον ἐξίτηλός τις καὶ τῷ Νέρωνι κατὰ τὸ τῆς ἐκδιαιτήσεως ὁμοιότροπον οἰκειότατος· ἔν γε μὴν τῇ βασιλείᾳ τὸν συνήθη τοῦ βίου μετελθεῖν τρόπον οὐχ ἱκανὸς γέγονε, πολέμων αὐτῷ χαλεπῶν εὐθὺς ἐκραγέντων.

83 Ὀθνεία: ξένη. καὶ Ὀθνεῖος, ἀλλογενής, ξένος, ἀλλότριος.

84 Ὀθνεῖος: οὐχ ὁ ἐκ τῆς ἀλλοδαπῆς ἀφιγμένος, ὥς τινες ἀπέδοσαν, ἀλλοεθνής, ἀλλ’ ὁ ἀπὸ πόλεως τῆς αὐτῆς ὢν καὶ ἄλλως ἐπιτήδειός πως, οὐ μέντοι κατὰ γένος προσήκων. ἐπολέμουν ἔμφυλον πόλεμον κακίονα τοῦ ὀθνείου. ὀθνεῖον γάρ τι καὶ ἔκφυλον ψεύδεσθαι σοφῷ ἀνδρί. πρῶτος ὀθνείων κατέστησεν εἰς πείραν πολέμων Ῥωμαίους. πόλεμον μακρὸν καὶ ὀθνεῖον ἐκφέρουσιν.

85 Ὀθρωνός.

86 Ὀθρυάδας: τῶν τʹ λογάδων εἷς, τῶν ἐπὶ Θυραίᾳ μαχεσαμένων· ὃς ἐν τοῖς νεκροῖς τραυματίας λαθών, ἀναχωρησάντων Ἀλκήνορος καὶ Χρομίου, οἳ τῶν Ἀργείων περιεσώθησαν, αὐτὸς σκυλεύσας τοὺς Ἀργείων νεκροὺς καὶ τρόπαιον ἀναστήσας ἀνθρωπείῳ αἵματι ἐτελεύτησεν εὐθὺς καὶ αἴτιος ἐγένετο Λακεδαιμονίοις τοῦ πάλιν ἀμφισβητῆσαι περὶ Θυραίας καὶ ἀγωνισαμένους νικῆσαι.

87 Ὀθρυονεύς: ὄνομα κύριον. τὸν Ὀθρυονῆα.

88 Ὀΐ: ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων· καὶ οἱ φοβούμενοι δὲ οὕτω λέγουσιν.

89 Ὄϊαι: διφθέραι, μηλωταί.

90 Ὀΐεσσι: προβάτοις.

91 Ὀϊζύω: ταλαιπωρῶ.

92 Ὀϊζυρήν: ταλαίπωρον, χαλεπήν. ἐν Ἐπιγράμμασι· εὕρετο παισὶν ὄλβον ὀϊζυρὴν ὠσάμενος πενίην.

93 Ὀϊζύς: πόνος, ταλαιπωρία.

94 Ὀϊλεύς: ὄνομα κύριον.

95 Ὄϊν: πρόβατον. τὰν ὄϊν, ὦ Δάματερ ἐπόγμιε, τάν τ’ ἀκέρωτον μόσχον. ἐν Ἐπιγράμμασι.

96 Ὀϊνγάρδαι: ὄνομα ἔθνους.

97 Ὀΐρωνος.

98 Ὄϊος: προβάτου. οὕτως Ἴωνες, Ἀττικοὶ δὲ οἶς. καὶ ὄϊν Ἴωνες, Ἀττικοὶ δὲ οἶν. καὶ παροιμία· Ὄϊς τὴν μάχαιραν. ἐπὶ τῶν ἀλυσιτελῶς σφίσιν αὐτοῖς χρωμένων.

99 Ὀΐω: ὑπολαμβάνω. καὶ Ὀϊσθείς, ὑπολαβών.

100 Ὄϊς: αἴξ, ἢ πρόβατον.

101 Ὀϊστεύσας: τοξεύσας, σαγιττεύσας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

102 Ὀϊστός: βέλος, σαγίττα.

103 Ὁ κάνης τῆς τύχης ὑπερέχει: ἐπὶ τῶν τὰ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.

104 Ὁ κάτωθεν νόμος: Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους ἢ τὴν Ἡλιαίαν λέγει διὰ τὸ τῶν δικαστηρίων τὰ μὲν ἄνω, τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα τῆς ἐν τοῖς ἄξοσι γραφῆς βουστροφηδὸν γεγραμμένης, ἢ ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης· ὅτι γάρ, φησί, βουστροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρβεις γεγραμμένοι, δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ· ἢ ἐπεί, φησί, τοὺς ἄξονας καὶ τοὺς κύρβεις ἄνωθεν ἐκ τῆς ἀκροπόλεως εἰς τὸ βουλευτήριον καὶ τὴν ἀγορὰν μετέστησεν Ἐφιάλτης, ὥς φησιν Ἀναξιμένης ἐν Φιλιππικῷ. ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας λέγων, Πλαταιέας γεγράφθαι ἐν τῇ Ποικίλῃ στοᾷ· οὐδεὶς γὰρ τοῦτο εἴρηκεν. ὅτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς Ἀττικῆς. Δημοσθένης δὲ ἐν τῷ Περὶ τῶν συμμοριῶν φησιν οὕτως· ἡμῖν δὲ τῆς χώρας τίμημα ὑπάρχειν ἀφορμὴν τὰ ὀκτακισχίλια τάλαντα ἀκούσεται. ἤτοι οὖν γραφικόν ἐστιν ἁμάρτημα, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλεῖον τὴν ἀφορμὴν ἔχειν ἡ πόλις τοῦ εἰς τὸν πρὸς βασιλέα πολέμου.

105 Ὁ Καρπάθιος τὸν λαγῳόν: φασὶν ὅτι οἱ Καρπάθιοι νῆσον οἰκοῦντες ἐπηγάγοντο λαγῳόν, οὐκ ἔχοντες ἐν τῇ χώρᾳ. οἱ δὲ πολλοὶ γενόμενοι τὰ γεώργια αὐτῶν ἐλυμαίνοντο. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν καθ' ἑαυτῶν τι ἐπινοουμένων.

106 Ὀκέλλει: προσορμεῖ, ἐκρίπτεται. εἴρηται ἐπὶ τῶν νηῶν. καὶ Ὀκέλλοι, προσορμίζοι.

107 Ὁ Κίς: ὄνομα κύριον.

108 Ὀκλαδία: ἡ ὄκλασις.

109 Ὀκλαδίας: ὁ συγκεκλασμένος δίφρος, καὶ ποτὲ μὲν ἐκτεινόμενος, ποτὲ δὲ συστελλόμενος. καὶ αὖθις· βαθεῖαν εἰς ἰλὺν ὀκλαστὶ πηδώντων. περὶ βατράχου ὁ λόγος.

110 Ὀκλάζει: χωλεύει, εἰς τὸ γόνυ κάμπτεται, διστάζει, ἀποκάμνει, λαγγάζει.

111 Ὀκλὰξ καθήμενος: ἀντὶ τοῦ ἐπὶ γόνυ.

112 Ὀκνεῖ: εὐλαβῶς ἔχει. Ξενοφῶν· ὀκνοῦντες, μὴ οἱ Ἕλληνες διαβάντες τὴν γέφυραν μείνειαν. ἀντὶ τοῦ εὐλαβούμενοι, δεδιότες.

113 Ὀκνεῖν· κατάσκοπον οὐδένα ἐκ τῶν πολεμίων ὀκνεῖν, ἀλλὰ καὶ πρὸ ἔργου ἡγεῖσθαι γινώσκειν αὐτούς, ξὺν ὅσῃ τε καὶ ὅπως ὡπλισμένῃ δυνάμει ἔρχεται.

114 Ὀκνείω: ὀκνῶ, ἀποβάλλομαι.

115 Ὄκνος χαλκοῦς: βούλεται τοῦτο τοῖς Βιθυνοῖς ἐπιχωρίως δίφρου τινὸς γυναικείου εἶδος εἶναι.

116 Ὀκνῶ: φοβοῦμαι. καὶ πυκνῶς τούτῳ κέχρηται Σοφοκλῆς ἐπὶ τοῦ φοβεῖσθαι. φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ. καὶ οἱ ῥήτορες οὐκ ἐπὶ δειλίας καὶ ῥᾳθυμίας ἐχρήσαντο τῷ ὀνόματι, ἀλλ' ἐπὶ τοῦ φόβου καὶ τοῦ φοβεῖσθαι. Ἀντιφῶν· κακὸς δ' ἂν εἰ ἀποῦσι μὲν καὶ μέλλουσι τοῖς κινδύνοις τῇ γλώττῃ θρασύνεται καὶ τῷ θέλειν ἐπείγειν, τὸ δὲ ἔργον ἂν παρῇ, ὀκνεῖν. καὶ Δημοσθένης ἐν Φιλιππικῶν α'· φημὶ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σῴζειν καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώταις ἑτέροις. εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ, μὴ μάταιος ὑμῖν ἡ στρατεία γένηται. καὶ Ὁμήρῳ δὲ ἐπὶ τοῦ φόβου ὁ ὄκνος τέτακται· φησὶ γὰρ Ἀγαμέμνων περὶ τοῦ ἀδελφοῦ αὐτοῦ· οὔτ' ὄκνῳ εἴκων οὔτ' ἀφραδίῃσι νόοιο.

117 Ὀκνῶν: ἀναδυόμενος. Σοφοκλῆς· φιλεῖ γὰρ ὀκνεῖν πᾶς ἀνὴρ πράσσων μέγα.

118

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀκολούμ· ἐπηρώθη Ὡράτιος ὁ Ῥωμαῖος τὸν ὀφθαλμὸν καὶ ἐπεκλήθη Κόκλης· τὸν γὰρ ὀφθαλμὸν ὀκολοὺμ καλοῦσι Ῥωμαῖοι.

○ 119 Ὁ Κὼχ: ὄνομα κύριον. τὸ δὲ βέλος ἀνεῳγμένον προφθάσαν τὸ στόμα, ἐκεῖσε ἐμπεσὸν κατέπαυσε τὴν πτῆσιν. καὶ δὴ ὁ Κὼχ εὐθυωρὸν ἀπεβίω.

○ 120 Ὁ Κρὴς τὴν θάλασσαν: παροιμία ἐπὶ τῶν προσποιουμένων φεύγειν ἐκεῖνα, ἐν οἷς διαφέρουσιν. ἐπειδὴ ναυτικώτατοι οἱ Κρῆτες ἐγένοντο.

○ 121 Ὀκρίβαντας: ἐμβάτας.

○ 122 Ὀκρίβας: σχῆμα ἡνιόχου.

○ 123 Ὀκρίβας: σκηνὴ ἰδίως πάντων τῶν λεγόντων. τὰ πλαστικὰ πήγματα, ἐφ’ οἷς διατυποῦσι τὰς εἰκόνας, καὶ τὰ ὑπερείσματα τῶν ξυλίνων θεάτρων. βέλτιον φάναι τὸ λογεῖον, ἐφ’ οὗ ἵσταντο οἱ τραγῳδοὶ ἢ οἱ ὑποκριταὶ ἐκ μετεώρου καὶ ἔλεγον. οἱ δὲ ὄνον φασιν εἶναι, οἱ δὲ ἄγριον κριόν, ἄλλοι κλίμακα.

○ 124 Ὀκριόεις: ὁ τραχύς. ἐν Ἐπιγράμμασι· καὶ λίθον ὀκριόεντα, δόναξ ὅθι δισσὸν ὀδόντα θήγεται (τὴν κίσηριν λέγων), ἀμβλυνθεὶς ἐκ δολιχογραφίης. καὶ Ὀκρυόεσσα, φρικτή, φοβερά. δέξαι μ’, εἰ καί σοι μέγα βρίθεται ὀκρυόεσσα βᾶρις, ἀποφθίμενον τὸν Κύνα Διογένη.

○ 125 Ὀκτάβλωμον: ὀκτὼ ἔχοντα δάγματα.

○ 126 Ὀκτάκνημον: ὀκτάραβδον.

○ 127 Ὀκτάμετρον· ὅτι τοῦ τετραμέτρου εὑρετὴς Ἀριστοφάνης ὁ ποιητής, ὡσαύτως καὶ τοῦ ὀκταμέτρου.

○ 128 Ὀκτώ: ὁ ἀριθμός.

○ 129 Ὀκτώβριος: ὄνομα μηνός.

○ 130 Ὀκτώπουν: Κρατῖνος Θρᾴτταις· ὀκτώπουν ἀνεγείρεις. ἀντὶ τοῦ σκορπίον. παροιμία γάρ· σκορπίον ὀκτώπουν ἀνεγείρεις. ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις ἡ Λύσσα ἐπιθειάζουσα ταῖς Βάκχαις φησίν· ἐκ ποδῶν δ’ ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα, κέντημα γλώσσης, σκορπίου βέλος λέγω.

○ 131 Ὀκχή: στήριγμα, βάσταγμα. γέντο δ’ ἐρείκης σκηπάνιον, ὃ δὴ πέλεν γήραος ὀκχή. καὶ Ὀκχήσασθαι, ἐπικαθεσθῆναι.

○ 132 Ὀλβίζειν: μακαρίζειν, εὐδαίμονα ἡγεῖσθαι. Σοφοκλῆς· μηδέν’ ὀλβίζειν, πρὶν ἂν τέρμα τοῦ βίου περάσῃ, μηδὲν ἀλγεινὸν παθών.

○ 133 Ὀλβιοδαίμων: εὐδαίμων, εὐτυχέστατος. ἡ κλητικὴ ὀλβιόδαιμον.

○ 134 Ὄλβιος: πλούσιος, εὐδαίμων, μακάριος.

○ 135 Ὀλβοδότης: πλουτοδότης.

○ 136 Ὄλβος: εὐδαιμονία, πλοῦτος. ἐν Ἐπιγράμμασι· ὄλβου παντὸς ὑπερπέταται, ὅς σε περιπλέγδην ἔχε πήχεσιν.

○ 137 Ὀλαί: αἱ μεθ’ ἁλῶν μεμιγμέναι κριθαὶ καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι.

○ 138 Ὀλέθριον: μέχρι θανάτου. Σοφοκλῆς· ὀλέθριον αἰκίζει.

○ 139 Ὀλέθρου πείρατ’ ἐφῆπται: ἐπιδέδεται καὶ ἐξῆπται τὸ τοῦ ὀλέθρου ὑμῶν πέρας. οἷον δέδεσθε τῷ ὀλέθρῳ.

○ 140 Ὀλέκει: φονεύει.

○ 141 Ὀλέκρανον: τινὲς τὸν ἀγκῶνα· οὐκέτι δὲ τὸ ἐν τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος τοῖς τρωθεῖσιν εἰς αὐτόν. Ἀριστοτέλης δὲ οὐ τὸν ἀγκῶνα, ἀλλὰ τὸ ἐν καμπῇ τῆς χειρὸς ὀξύ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγκὼν δὲ τὸ ὑπὲρ ἐκεῖνο. Ἀριστοφάνης δὲ ὀλέκρανα λέγει τὰ τῶν ὠλενῶν κρανία, τουτέστι τῶν χειρῶν. δῆλον οὖν, ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγει· ὃν ἀγκῶνα φαμὲν ἡμεῖς. μηδέποτε παύσοιτ' ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενος.

142 Ὀλέκρανον: ἀγκών· οἷον τῆς ὠλένης κάρανον. Ἀριστοφάνης. κατάρα εἰρηνικῶν· ὅστις πόλεμον μᾶλλον εἶναι βούλεται, μηδέποτε παύσασθ' αὐτόν, ὦ Διόνυς' ἄναξ, ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.

143 Ὀλέσκει: ὀλοθρεύει.

144 Ὀλετῆρα: φονέα.

145 Ὄληαι: ἀπόλῃ.

146 Ὅλην ἐξεκέχυτο τὴν ψυχήν: ἀντὶ τοῦ ἐπιμελῶς καὶ διὰ σπουδῆς εἶχεν. ἐς δὲ αὔξησιν ἀρετῆς καὶ μείωσιν κακίας ὅλην ἐξεκέχυτο τὴν ψυχήν.

147 Ὀλίγα ἄττα: ὀλίγα τινά.

148 Ὀλιγαρκία: τὸ ἐν ὀλίγοις ἀρκεῖσθαι. Ὀλιγαρτία δὲ ἡ λεῖψις τοῦ ἄρτου.

149 Ὀλιγαρχούμενοι: ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς εἰσι πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία.

150 Ὀλιγαῦλαξ: ἡ μικρὰ χώρα. ἥ τ' ὀλιγαῦλαξ σπείρεσθαι.

151 Ὀλίγαιμος: ὁ ὀλίγον αἷμα ἔχων.

152 Ὀλιγηπελέων: ὀλιγοψυχῶν.

153 Ὀλιγηροσίη· πενιχρῆς ἐξ ὀλιγηροσίης μοῖραν ἁλοεῖται στάχυος.

154 Ὀλιγογνώμων: ὀλίγωρος.

155 Ὀλιγοδεής: ὀλίγων χρῄζων.

156 Ὀλιγοδεΐα: τὸ ὀλίγων δεῖσθαι. καὶ Ὀλιγοδεία ὁμοίως.

157 Ὀλιγοδρανέων καὶ Ὀλιγοδρανής: ὀλίγα ἰσχύων.

158 Ὀλίγον: ἀντὶ τοῦ οὐδόλως, παρ' Ὁμήρῳ. ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο. καὶ Ὀλίγον, ἀντὶ τοῦ ἡσυχαίτερον. ὁ δὲ ὀλίγον φθέγγεται πρὸς τὴν κόρην, καὶ αἰτεῖ πιεῖν. καὶ ἀντὶ τοῦ μικρά. καὶ σπονδὴν ὀλίγῃ κιρναμένην κύλικι.

159 Ὀλίγγος: ὁ γόνος τῶν ἀκρίδων.

160 Ὀλιγοστός.

161 Ὀλιγότης.

162 Ὀλίγου δεῖν: σχεδόν, παρὰ μικρόν. λέγεται δὲ καὶ χωρὶς τοῦ δεῖν. καὶ ὀλίγου δέω φάναι ὡσαύτως.

163 Ὀλιγοχρονῶ.

164 Ὀλιγωρήσας: ἀμελήσας, ἀφροντιστήσας. τῶν νενομισμένων τοῖς τελευτήσασιν ὀλιγωρήσας τιμῶν.

165 Ὀλιγωρήσεται: ἀντὶ τοῦ ἀμελήσεται. Δημοσθένης Φιλιππικοῖς· ὀλιγωρεῖν γὰρ λέγεται τὸ ὀλίγην ὤραν ἔχειν. ἔστι δὲ τὸ μὲν ὀλίγην ἀντὶ τοῦ οὐδὲ ὀλίγην. ὡς ἐν τῷ, ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. ὤρα δὲ ἡ φροντίς.

166 Ὀλιγωρῶ· γενικῇ.

167 Ὀλιζῶνες: ἔθνος Θρᾳκικόν.

168 Ὀλίζονος: μικρᾶς.

169

Ὄλισβος: αἰδοῖον δερμάτινον, ᾧ ἐχρῶντο αἱ Μιλήσιαι γυναῖκες, ὡς τριβάδες καὶ αἰσχρουργοί· ἐχρῶντο δὲ αὐτοῖς καὶ αἱ χῆραι γυναῖκες. Ἀριστοφάνης· οὐκ εἶδον οὐδ’ ὄλισβον ὀκταδάκτυλον, ὃς ἂν ἡμῖν σκυτίνη ’πικουρία. παρὰ τὴν παροιμίαν, συκίνη ἐπικουρία. ἐπὶ τῶν ἀσθενῶν.

170 Ὀλισθηρός: εὐόλισθος, εὐχερῶς μεταγινώσκων.

171 Ὁλκάς: παρὰ Θουκυδίδῃ ἡ ἐμπορικὴ ναῦς. καὶ Ὁλκάδες, πλοῖα. ἐν ταῖς δὴ λεγομέναις ὁλκάσι μακραῖς τὰ βαρβαρικὰ διεβίβασαν πλήθη.

172 Ὁλκεῦσιν· οἱ δὲ Τρῶες ὁλκεῦσι πολλοῖς καὶ ἀρτήμασιν ἐνάψαντες ὑπότροχον ὄντα εἷλκον εἰς τὴν πόλιν.

173 Ὁλκῇ: δυνάμει, ἢ βάρει, ἢ σταθμῷ. καὶ τὸν στρεπτόν, ὃν ἐφόρει, ὁλκῆς γενικῆς χρυσοῦ ὄντα ἀφαιρεῖται. φησὶν Αἰλιανός.

174 Ὁλκήν: ἐπαγωγήν, τροπήν.

175 Ὁλκόν: ἰσχυρὸν τόνον, ἢ ἑλκυστικόν, ἢ ὅρμον, ἢ ὁδόν. ὁ δὲ τὸν ὁλκὸν τοῦ ὕδατος ἔκοψεν.

176 Ὁλκός: ὁδός, ἢ ἀγωγὸς ῥεύματος, ἢ οὐρά. ἢ ὁλκὸς κυρίως τὸ τῶν δρακόντων σύρμα, καταχρηστικῶς δὲ καὶ τὸ τῆς τρόπιδος ἔκταμα· δρακοντοειδὲς γὰρ διὰ πάσης τῆς νεὼς διῆκον.

177 Ὁλκὸς ἄνθρωπος: ὁ ἑλκυστικὸς καὶ ἐπαγωγός.

178 Ὁλκοῖς: ἄγειν καὶ ἐφέλκεσθαι δυναμένοις.

179 Ὁλκούς: ἐφελκομένας.

180 Ὁλκούς: ναυστάθμους.

181 Ὅλμος: τὸ μαγειρικὸν ἐργαλεῖον. καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὁλμειός, στρογγύλος λίθος, εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά.

182 Ὀλοή: ὀλεθρία.

183 Ὀλοθρεύων· αἰτιατικῇ. ἔστιν ἐν τῷ ὕσσωπος.

184 Ὁλοκαρπούμενον: ὅλον προσφερόμενον.

185 Ὁλοκαυτώματα: ἡ θυσία.

186 Ὀλολυγή: ἡ βοή.

187 Ὀλολύγιον.

188 Ὤλωλα: ἀπόλωλα. καὶ Ὄλοιτο, εὐκτικῶς.

189 Ὀλώλαμεν: ἀπολώλαμεν.

190 Ὅλῳ ποδί: ὅλῃ δυνάμει.

191 Ὀλολυζέτω: θρηνείτω. κυρίως ἐπὶ γυναικῶν. Ὅμηρος· αἱ δ’ ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον.

192 Ὀλολυζέτω πίτυς, ὅτι πέπτωκε κέδρος: τουτέστι τῶν ἰσχυρῶν πιπτόντων τὰ ἀσθενέστερα παιδευέσθωσαν καὶ σωφρονιζέσθωσαν. καὶ ὁ Σολομῶν λέγει· τῶν ἀσεβῶν πιπτόντων, δίκαιοι κατάφοβοι γίνονται. καί, λοιμοῦ μαστιζομένου ἄφρων πανουργότερος γίνεται.

193 Ὀλολύζειν: τὸ μετὰ κραυγῆς εὔχεσθαι. Ὅμηρος· αἱ δ’ ὀλόλυξαν.

194 Ὀλολύζει ὁ γέρων, εἰς τὴν θηλύτητα αὐτοῦ καὶ λαγνείαν ἀποβλέπων.

195 Ολοός: δασυνομένης μὲν τῆς πρώτης συλλαβῆς δηλοῖ ὁ φρόνιμος καὶ ὑγιής, ψιλουμένης δὲ ὀλέθριος.

196 Ὀλοόφρονος: τοῦ ὀλέθρια φρονοῦντος.

197 Ὄλορος, Ὀλόρου: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

198 Ὀλός: θολός.

199 Ὅλος καὶ πᾶς· ἦν δὲ ὅλος καὶ πᾶς πρὸς τὸ πολεμεῖν. ἤ, πρὸς τὸ παραβάλλεσθαι καὶ διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν. ὅλος καὶ πᾶς ἦν τῇ διανοίᾳ περὶ τοὺς ἐνεστῶτας κινδύνους. ἀντὶ τοῦ πάσῃ δυνάμει.

200 Ὁλοσχερῶς: ὁλοτελῶς.

201 Ὁλοσχοίνῳ· Αἰσχίνης ἐν τῷ Περὶ τῆς παραπρεσβείας. Θεόφραστος δὲ τρία εἴδη σχοίνου φησίν, ὧν ὁ τρίτος μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται.

202 Ὀλοφώϊον: ὀλέθριον.

203 Ὁλόφωνος: ὁ ἀλεκτρυών. οὕτω Κρατῖνος.

204 Ὁλόφυλος: ὁ ὁλόκληρος.

205 Ὀλόφυξος: Θρᾳκία πόλις περὶ Ἄθων, ἧς πολίτης Ἡρόδοτος Ὀλοφύξιος περὶ Νυμφῶν ὥς φασι γράψαι καὶ ἱερῶν.

206 Ὀλοφύρεται: ἀποδύρεται, κλαίει.

207 Ὀλοφυρμός: θρῆνος.

208 Ὄλπη: ἡ λήκυθος. οἱονεὶ ἐλαιόπη τις οὖσα, διὰ τὸ δι' αὐτῆς ὀπιπεύεσθαι τὸ ἔλαιον. ἐν Ἐπιγράμμασι· χάλκεον ἀργυρέῳ με πανείκελον, Ἰνδικὸν ἔργον, ὄλπην ἡδίστου ξείνιον εἰς ἑτάρου, ἦμαρ ἐπεὶ τόδε σεῖο γενέθλιον, πέμπει γηθομένῃ σὺν φρενὶ Κριναγόρης.

209 Ὁλοοίτροχος: περιφερής, στρογγύλος. καὶ ὁλοίτροχος.

210 Ὁλοφέρνης, ἀρχιστράτηγος Καμβύσου, υἱοῦ Κύρου. πόλεμον δὲ ἔχων ὁ Καμβύσης πρὸς Ἀρφαζάδ, βασιλέα Μήδων, καὶ συμμαχίαν αἰτήσας παρὰ τῶν ἐθνῶν ἁπάντων ἕως Αἰγύπτου καὶ μὴ δεδωκότων αὐτῷ, μετὰ τὸ νικῆσαι Ἀρφαζὰδ πόλεμον ἔθετο κατὰ τῶν μὴ δεδωκότων αὐτῷ βοήθειαν, ἀποστείλας Ὁλοφέρνην μετὰ δυνάμεως πολλῆς· ὃς πάντων ἐκράτησεν. ἐλθὼν δὲ περὶ Βετυλούαν τὴν τῶν Ἰουδαίων πόλιν ἀπέστειλεν Ἀχίωρ τὸν στρατηγὸν αὐτοῦ, ἐπαπειλήσας αὐτῷ, εἰ μὴ ἕλοιτο τὴν πόλιν, ἀναιρήσειν αὐτόν. ὁ δὲ Ἀχίωρ κρατήσας τὰ ὕδατα ἠνάγκασεν ἑτοίμως ἔχειν ἐκδοῦναι αὐτῷ τὴν πόλιν. ἡ δὲ Ἰουδὴθ ἐξελθοῦσα κεκοσμημένη ὡς νύμφη ἀπεκεφάλισε τὸν Ὁλοφέρνην, καὶ ἐσώθη ἡ πόλις. καὶ κλίνεται εἰς ου.

211 Ὁλοίτροχος· λίθος ὁλοίτροχος ἀπὸ μηχανῆς εἰς τὸν εὑρετὴν τοῦ τεχνήματος ἐμπεσὼν τοῦ τε στόματος ἐξήραξε καὶ τοὺς ὀφθαλμοὺς ἐξέωσεν ἄμφω. Ἡρόδοτος· καὶ δὴ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, ὁλοιτρόχους ἀφίεσαν. καὶ αὖθις· ὁλοιτρόχους μεγάλους κατὰ τοῦ λόφου κυλίοντες. λίθους ὅλους τροχοειδεῖς.

212 Ὁλοιτρόχους: στρογγύλους, τροχοειδεῖς λίθους. Ξενοφῶν· ἐκυλίνδουν οἱ βάρβαροι ὁλοιτρόχους ἁμαξιαίους, οἳ φερόμενοι διεσφενδονῶντο.

213 Ὀλυμπιάνειος σοφιστής: τοῦ Ὀλυμπιανοῦ.

214 Ὀλυμπιάς: οὕτω καλεῖται παρ' Ἕλλησιν ὁ κατὰ τέσσαρα ἔτη συντελούμενος ἀγών, διὰ τὴν κατὰ τετραετίαν τῶν τοῦ ἡλίου δρόμων ἐκ τῶν κατ' ἔτος ὡρῶν τριῶν συντελουμένην ἡμέραν. ἐτέθη δὲ πρώτη Ὀλυμπιὰς ἐπὶ Σολομῶντος, εἰς ἑορτὴν κοσμικὴν τοῦ Διός.

215 Ὀλυμπιάς: τετραετηρικὸς ἀγών. εἰσὶ δὲ δ' ἀγῶνες, Ὀλύμπια, Ἴσθμια, Νέμεα καὶ Πύθια. λέγεται καὶ Ὀλυμπίασι, τουτέστιν ἐν τοῖς Ὀλυμπίοις, ἔνθα ἠγωνίζοντο.

216 Ὀλυμπιόδωρος, φιλόσοφος Ἀλεξανδρεύς· οὗ κλέος εὐρύ. παρὰ τοῦτον φοιτᾷ Πρόκλος ὁ Λύκιος ἐπ' Ἀριστοτελικοῖς λόγοις. Ὀλυμπιοδώρου δὲ ἀκροώμενος ἀνδρὸς δυνατοῦ λέγειν καὶ διὰ τὴν περὶ τοῦτο εὐκολίαν καὶ ἐντρέχειαν ὀλίγοις τῶν ἀκουόντων ὄντος ἐφικτοῦ· ἠγάσθη δὲ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μειράκιον, ὥστε καὶ θυγάτριον ἔχων ἡγμένον καὶ αὐτὸ φιλοσόφως βουληθῆναι αὐτῷ κατεγγυῆσαι.

217 Ὀλυμπιονίκης: ὁ ἐν Ὀλυμπίᾳ νικῶν.

218 Ὄλυμπος, ἀδελφὸς Γενερώσης· ὃς ἧκεν ἀπὸ τῆς Κιλικίας εἰς Ἀλεξάνδρειαν ἐπὶ τὴν θεραπείαν τοῦ Σαρπηδόνος. ἦν δὲ ἐς πάντα φύσιν ἀξιάγαστον κεκτημένος, μέγας μὲν τὸ σῶμα καὶ εὐμήκης ἰδεῖν, καλὸς δὲ καὶ ἀγαθὸς τὴν ὄψιν. τῆς δὲ ἡλικίας ἐν τῷ φρονιμωτάτῳ τότε γεγονὼς εὐόμιλός τε ἦν καὶ ἡδὺς ἱκανῶς τοῖς ἐντυγχάνουσι καὶ ὠφέλιμος εἴπερ τις ἕτερος τοῖς πειθομένοις. οὐδεὶς δὲ ἦν οὕτως ἀτεράμων καὶ βάρβαρος τὴν ψυχήν, ὃς οὐκ ἐπείθετο καὶ κατεκηλεῖτο τοῖς ἀπὸ τοῦ ἱεροῦ στόματος ἐκείνου ῥέουσι λόγοις· τοιάδε τις ἐπεκάθητο πειθὼ τοῖς χείλεσι τοῦ ἀνδρός, οὐκ ἀνθρώπειόν τι χρῆμα, ἀλλὰ θειότερον. ταῦτά τοι τοῖς Ἀλεξανδρεῦσι κατέστη ἱεροδιδάσκαλος, ἤδη κατασυρομένοις ὑπὸ τοῦ χειμάρρου τῆς πολιτείας. ὁ δὲ συναγείρων ἑκάστοτε τοὺς παρατυγχάνοντας ἐδίδασκε τὰ ἀρχαῖα νόμιμα καὶ τὴν τούτοις ἐφεπομένην εὐδαιμονίαν, ὅση τε καὶ οἵα θεόθεν ἀπήντα τοῖς ἀκριβῶς ταῦτα διαφυλάττουσιν. οὕτω δὲ ἦν ὁ Ὄλυμπος πλήρης τοῦ θεοῦ, ὥστε καὶ προεῖπε τοῖς ἑταίροις, ὅτι Σάραπις ἀφίησι τὸν νεών· ὃ καὶ γέγονεν.

219 Ὄλυμπος, Μαίονος, Μυσός, αὐλητὴς καὶ ποιητὴς μελῶν καὶ ἐλεγείων, ἡγεμών τε γενόμενος τῆς κρουματικῆς μουσικῆς τῆς διὰ τῶν αὐλῶν· μαθητὴς καὶ ἐρώμενος Μαρσύου, τὸ γένος ὄντος Σατύρου, ἀκουστοῦ δὲ καὶ παιδὸς Ὑάγνιδος. γέγονε δὲ πρὸ τῶν Τρωϊκῶν ὁ Ὄλυμπος, ἐξ οὗ τὸ ὄρος τὸ ἐν Μυσίᾳ ὀνομάζεται.

220 Ὄλυμπος: ὁ τοὺς νόμους τῆς κιθαρῳδίας ἐνθεὶς καὶ διδάξας.

221 Ὄλυμπος, Φρύξ, νεώτερος, αὐλητὴς γεγονὼς ἐπὶ Μίδου τοῦ Γορδίου.

222 Ὄλυμπος: οὐρανός· θεοῦ οἰκητήριον.

223 Ὄλυνθος: παρὰ τὸ ὅλος ἀνθεῖν, ἤγουν ἐκ πρώτης ἀνθήσεως τὸ αὐτὸ ἔχειν. Ὄλυνθος οὖν ἡ ὠμὴ συκῆ.

224 Ὄλυρα: ζειά, εἶδος σπέρματος.

225 Ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται: τουτέστιν ὁ ἥλιος. ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν ὀφθαλμὸν ὀνομάζειν αὐτόν.

226 Ὅμαδος: θόρυβος.

227 Ὅμαυλος: ὁμόθρους, ὁμόφωνος. στονόεσσά τε γῆρυς ὅμαυλος. Σοφοκλῆς.

228 Ὁμαλές: ἀπὸ τῆς ὁμαλής εὐθείας. Προκόπιος· οἱ δὲ εἰς φυγὴν ὥρμηντο, οὔτε εἰς τοῦ Βουργαῶνος τὴν ὑπερβολὴν ἀναδραμεῖν ἔχοντες, οὔτε εἰς τὸ ὁμαλές, διὰ τὸ ἐπικεῖσθαι τοὺς ἐναντίους.

229 Ὁμαρτῶν: ἀκολουθῶν· ἢ ὁμοῦ πέμπων.

230 Ὀμβρήσας: βρέξας.

231 Ὀμβρῶ, ὀμβρήσω. καὶ Ὀμβροβλυτῶ. καὶ Ὀμβρήσαντος, πηγάσαντος.

232 Ὀμβρία χάλαζ’ ἐπιρράξασα ἢ Διὸς κεραυνός.

233 Ὄμβριον ὕδωρ.

234 Ὅμαιμος: ἀδελφός. ἐν Ἐπιγράμμασι· οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι. λέγονται καὶ σύναιμοι.

235 Ὁμαίμονος: ἀδελφοῦ.

236 Ὅμαιμος καὶ Ὁμαίμων: ἀδελφός, ἢ συγγενής. καὶ ὁμονήδυος.

237

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμαιχμία: ὁμομαχία, συμμαχία, φιλία. παρὰ τὸ ὁμοῦ τὰς αἰχμὰς τίθεσθαι. Ἡρόδοτος· καὶ ὀλίγον μὲν χρόνον ὁμαιχμία ξυνέμεινεν· ἔπειτα διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν πρὸς ἀλλήλους. καὶ αὖθις. ἐπηγάγετο δὲ ἐς ὁμαιχμίαν τοὺς Γότθους. καὶ αὖθις· ἐπὶ Ἀννίβα τοῦ Καρχηδονίου στρατηγοῦ τῆς Ἰταλίας ἁπάσης ἐς τὴν Ῥωμαίων συστάσης ὁμαιχμίαν.

○ 238 Ὁμέθνιον: ὁμόφυλον.

○ 239 Ὁμέστιον: ὁμόοικον, ὁμορόφιον γαμετήν.

○ 240 Ὁμευνέτης, ὁμευνέτου: συγκοίτου ἀνδρός. τὸ δὲ θηλυκὸν ὁμευνέτις διὰ τοῦ ι. ὁμευνέτιδος.

○ 241 Ὀμῇ σύ: ὀμοῦμαι. Ὀμῇ, δευτέρου προσώπου.

○ 242 Ὁμήγυριν: ἄθροισμα, πλῆθος. ἡ εὐθεῖα ὁμήγυρις.

○ 243 Ὁμήλιξ: ὁ ὁμοήλιξ.

○ 244 Ὁμηρεύειν: συμφωνεῖν. οἱ δὲ Σάμιοι καίπερ ἐξομηρευομένων αὐτοῖς τῶν νεανίσκων ὅμως οὐκ ἐπέμειναν, ἀλλ' ἐπανέστησαν τοῖς φυλάσσουσι τὴν πόλιν τῶν Μακεδόνων.

○ 245 Ὁμηρεύοντας: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπὶ τῶν ἄνω πεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. ἦσαν δὲ ν′.

○ 246 Ὁμηρεία: ἡ ἀντιπρόσοψις.

○ 247 Ὁμήρειος λόγος: ὁ τοῦ Ὁμήρου.

○ 248 Ὁμηρίδαι: οἱ τὰ Ὁμήρου ὑποκρινόμενοι. οἱ δὲ γένος ἐν Χίῳ ἀπὸ τοῦ ποιητοῦ ὠνομασμένον· ἄλλοι δέ φασιν ἁμαρτάνειν τοὺς οὕτω νομίζοντας· ὠνομάσθαι γὰρ ἀπὸ τῶν ὁμήρων· ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο· ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν.

○ 249 Ὁμηρίζω: τοῖς Ὁμήρου χρῶμαι.

○ 250 Ὅμηρον: παρὰ Θουκυδίδῃ ἐνέχυρον, τὸ εἰς εἰρήνην διδόμενον. ἐπὶ συνθήκαις. Αἰλιανός· ὁ δὲ ὑφαιρεῖται τὸν κώδωνα καὶ φιλίας σύμβολον καὶ ὅμηρον πρῶτον κομίζει τῷ ἑταίρῳ αὐτοῦ. Ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῶσαι γὰρ τὸ συμβαλεῖν. Θεόπομπος δὲ ὁμηρεῖν φησι παρὰ τοῖς Ἀχαιοῖς λέγεσθαι τὸ ἀκολουθεῖν. τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὡμολογημένων διδομένους ἐντεῦθεν ὁμήρους φασὶ λέγεσθαι.

○ 251 Ὅμηρος ὁ ποιητής, Μέλητος τοῦ ἐν Σμύρνῃ ποταμοῦ καὶ Κριθηΐδος νύμφης, ὡς δὲ ἄλλοι Ἀπόλλωνος καὶ Καλλιόπης τῆς Μούσης· ὡς δὲ Χάραξ ὁ ἱστορικὸς Μαίονος ἢ Μητίου καὶ Εὐμήτιδος μητρός· κατὰ δὲ ἄλλους Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Πολυκάστης τῆς Νέστορος. ἔστι δὲ ἡ τοῦ γένους τάξις κατὰ τὸν ἱστορικὸν Χάρακα αὕτη· Αἰθούσης Θρᾴσσης Λίνος, τοῦ δὲ Πίερος, τοῦ δὲ Οἴαγρος, τοῦ δὲ Ὀρφεύς, τοῦ δὲ Δρής, τοῦ δὲ Εὐκλέης, τοῦ δὲ Ἰδμονίδης, τοῦ δὲ Φιλοτερπής, τοῦ δὲ Εὔφημος, τοῦ δ' Ἐπιφράδης, τοῦ δὲ Μελάνωπος, τοῦ δὲ Ἀπελλῆς, τοῦ δὲ Μαίων, ὃς ἦλθεν ἅμα ταῖς Ἀμαζόσιν ἐν Σμύρνῃ καὶ γήμας Εὔμητιν τὴν Εὐέπους τοῦ Μνησιγένους ἐποίησεν Ὅμηρον. ὁμοίως δὲ καὶ τὴν πατρίδα ἀμφίβολος διὰ τὸ ἀπιστηθῆναι ὅλως εἶναι θνητὸν τῷ μεγέθει τῆς φύσεως. οἱ μὲν γὰρ ἔφασαν γενέσθαι Σμυρναῖον, οἱ δὲ Χῖον, οἱ δὲ Κολοφώνιον, οἱ δὲ Ἰήτην, οἱ δὲ Κυμαῖον, οἱ δὲ ἐκ Τροίας ἀπὸ χωρίου Κεγχρεῶν, οἱ δὲ Λυδόν, οἱ δὲ Ἀθηναῖον, οἱ δὲ Αἰγύπτιον, οἱ δὲ Ἰθακήσιον, οἱ δὲ Κύπριον, οἱ δὲ Κνώσσιον, οἱ δὲ Σαλαμίνιον, οἱ δὲ Μυκηναῖον, οἱ δὲ Θετταλόν, οἱ δὲ Ἰταλιώτην, οἱ δὲ Λευκανόν, οἱ δὲ Γρύνιον, οἱ δὲ Ῥωμαῖον, οἱ δὲ Ῥόδιον. καὶ προσηγορεύετο μὲν κυρίως Μελησιγένης· καὶ γὰρ ἐτέχθη παρὰ τῷ Μέλητι ποταμῷ κατὰ τοὺς Σμυρναῖον αὐτὸν γενεαλογοῦντας. ἐκλήθη δὲ Ὅμηρος διὰ τὸ πολέμου ἐνισταμένου Σμυρναίοις πρὸς Κολοφωνίους ὅμηρον δοθῆναι, ἢ ὅτι βουλευομένων Σμυρναίων δαιμονίᾳ τινὶ ἐνεργείᾳ φθέγξασθαι καὶ συμβουλεῦσαι ἐκκλησιάζουσι περὶ τοῦ

πολέμου. καὶ γέγονε δὲ πρὸ τοῦ τεθῆναι τὴν πρώτην ὀλυμπιάδα πρὸ ἐνιαυτῶν νζʹ· Πορφύριος δὲ ἐν τῇ Φιλοσόφῳ ἱστορίᾳ πρὸ ρλβʹ φησίν. ἐτέθη δὲ αὕτη μετὰ τὴν Τροίας ἅλωσιν ἐνιαυτοῖς ὕστερον υζʹ. τινὲς δὲ μετὰ ρξʹ ἐνιαυτοὺς μόνους τῆς Ἰλίου ἁλώσεως τετέχθαι ἱστοροῦσιν Ὅμηρον· ὁ δὲ ῥηθεὶς Πορφύριος μετὰ σοεʹ. γήμας δ’ ἐν Χίῳ Ἀρησιφόνην τὴν Γνώτορος τοῦ Κυμαίου θυγατέρα ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα, ἣν ἔγημε Στασῖνος ὁ Κύπριος· οἱ δὲ υἱεῖς Ἐρίφων καὶ Θεόλαος. ποιήματα δὲ αὐτοῦ ἀναμφίλεκτα Ἰλιὰς καὶ Ὀδύσσεια. ἔγραψε δὲ τὴν Ἰλιάδα οὐχ ἅμα οὐδὲ κατὰ τὸ συνεχές, καθάπερ σύγκειται, ἀλλ’ αὐτὸς μὲν ἑκάστην ῥαψῳδίαν γράψας καὶ ἐπιδειξάμενος τῷ περινοστεῖν τὰς πόλεις τροφῆς ἕνεκεν ἀπέλιπεν. ὕστερον δὲ συνετέθη καὶ συνετάχθη ὑπὸ πολλῶν καὶ μάλιστα ὑπὸ Πεισιστράτου τοῦ τῶν Ἀθηναίων τυράννου. ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα· Ἀμαζονία, Ἰλιὰς μικρά, Νόστοι, Ἐπικιχλίδες, Ἠθιέπακτος ἤτοι Ἴαμβοι, Βατραχομαχία, Μυοβατραχομαχία, Ἀραχνομαχία, Γερανομαχία, Κεραμεῖς, Ἀμφιαράου ἐξέλασις, παίγνια, Σικελίας ἅλωσις, ἐπιθαλάμια, Κύκλος, ὕμνοι, Κύπρια. γηραιὸς δὲ τελευτήσας ἐν τῇ νήσῳ τῇ Ἴῳ τέθαπται, τυφλὸς ἐκ παίδων γεγονώς· τὸ δὲ ἀληθές, ὅτι οὐχ ἡττήθη ἐπιθυμίας ἣ διὰ τῶν ὀφθαλμῶν ἄρχεται, καὶ παρὰ τοῦτο ἱστορήθη τυφλός. ἐπιγέγραπται δὲ ἐν τῷ τάφῳ αὐτοῦ τόδε τὸ ἐλεγεῖον, ὃ ὑπὸ τῶν Ἰητῶν ἐποιήθη χρόνῳ· ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον. ὅτι Διοσκορίδης ἐν τοῖς παρ’ Ὁμήρῳ νόμοις φησίν, ὡς ὁ ποιητὴς ὁρῶν τὴν σωφροσύνην οἰκειοτάτην ἀρετὴν οὖσαν καὶ πρώτην τοῖς νέοις, ἔτι δὲ ἁρμόττουσαν καὶ καλῶν χορηγὸν οὖσαν, βουλόμενος πάλιν ἐμφῦσαι αὐτὴν ἀπ’ ἀρχῆς καὶ ἐφεξῆς, ἵνα τὴν σχολὴν καὶ τὸν ζῆλον ἐν τοῖς καλοῖς ἔργοις ἀναλίσκωσι καὶ ὦσιν εὐεργετικοὶ καὶ κοινοὶ πρὸς ἀλλήλους, εὐτελῆ κατεσκεύασε πᾶσι τὸν βίον καὶ αὐτάρκη, λογιζόμενος τὰς ἐπιθυμίας καὶ τὰς ἡδονὰς ἰσχυροτάτας γίνεσθαι καὶ πρώτας ἔτι τε καὶ ἐμφύτους οὔσας περὶ ἐδωδὴν καὶ πόσιν, τοὺς δὲ διαμεμενηκότας ἐν ταῖς εὐτελείαις εὐτάκτους καὶ περὶ τὸν ἄλλον βίον γινομένους ἐγκρατεῖς. ἐφ’ ᾧ καὶ ἁπλῆν ἀποδέδωκε τὴν δίαιταν πᾶσι καὶ τὴν αὐτὴν ὁμοίως βασιλεῦσί τε καὶ ἰδιώταις, λέγων· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν, σῖτον δ’ αἰδοίη ταμίη παρέθηκε φέρουσα, δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας, καὶ τούτων ὀπτῶν καὶ ὡς ἐπιτοπολὺ βοείων. παρὰ δὲ ταῦτα οὔτε ἐν ἑορταῖς οὔτε ἐν γάμοις οὔτε ἐν ἄλλῃ συνόδῳ παρατίθησιν οὐδέν, καίτοι πολλάκις τὸν Ἀγαμέμνονα ποιήσας δειπνίζοντα τοὺς ἀρίστους. Μενέλαός τε τῆς Ἑρμιόνης γάμους ποιεῖται καὶ τοῦ υἱοῦ καὶ τῆς θυγατρός, καὶ τοῦ Τηλεμάχου πρὸς αὐτὸν παραγενομένου, νῶτα βοὸς παρέθηκεν ἀείρας ὄπτ’, ἐν χερσὶν ἑλών, τὰ ῥά οἱ γέρα παρέθεσαν αὐτῷ. οὐ γὰρ θρῖα καὶ κάνδυλον καὶ ἄμητας μελίπηκτά τε τοῖς βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος, ἀλλὰ ἀφ’ ὧν εὖ ἕξειν ἔμελλον τὸ σῶμα καὶ τὴν ψυχήν. καὶ Αἴαντα μετὰ τὴν μονομαχίαν νώτοισι γέραιρεν ὁ Ἀγαμέμνων, καὶ τῷ Νέστορι γηραιῷ ὄντι κρέας ὀπτὸν βοὸς δίδωσι, καὶ Ἀλκίνῳ δὲ τρυφερὸν ᾑρημένῳ βίον, σπουδάζων ἡμᾶς ἀποστῆσαι τῶν ἀτάκτων ἐπιθυμιῶν. καὶ Νέστορα δὲ ποιεῖ, παρὰ τῇ θαλάσσῃ τῷ Ποσειδῶνι κεχαρισμένην τινὰ θυσίαν ἐπιτελοῦντα καὶ πολλοὺς ἔχοντα, τάδε παρακελευόμενον· ἀλλ’ ἄγ’, ὁ μὲν πεδίονδ’ ἐπὶ βοῦν ἴτω, καὶ τὰ ἑξῆς. καὶ Ἀλκίνους δὲ τοὺς τρυφερωτάτους ἑστιῶν Φαίακας καὶ τὸν Ὀδυσσέα ξενίζων, ἐπιδεικνύμενος αὐτῷ τὴν τοῦ κήπου κατασκευὴν καὶ τῆς οἰκίας καὶ τὸν αὐτοῦ βίον, τοιαύτας παρατίθεται τραπέζας. καὶ τοὺς μνηστῆρας, ὑβριστὰς ὄντας καὶ πρὸς ἡδονὰς ἀνειμένους, οὔτε ἰχθύας ἐσθίοντας ποιεὶ οὔτε ὄρνιθας οὔτε μελίπηκτα, περιελὼν παντὶ σθένει τὰς μαγειρικὰς μαγγανείας. περὶ Ὁμήρου τοῦ ποιητοῦ. ὅτι Ὅμηρος πηρὸς ὢν τὰς ὄψεις περιενόστει καὶ ἀφίκετο εἰς Γλαῦκον ποιμένα. ὁ δὲ πρὸς τὸν ἴδιον δεσπότην αὐτὸν ἤγαγεν. ὁ δὲ ἰδὼν αὐτὸν δεξιὸν καὶ πολλῶν ἔμπειρον πείθει αὐτὸν αὐτόθι μένειν καὶ τῶν παίδων ἐπιμέλειαν ποιεῖσθαι. ὁ δὲ ἔπρασσε ταῦτα καὶ τοὺς Κέρκωπας καὶ τὴν Μυοβατραχομαχίαν καὶ Ψαρομαχίαν καὶ Ἑπταπάκτιον καὶ Ἐπικιχλίδας καὶ ἄλλα ὅσα παίγνιά ἐστιν Ὁμήρῳ ἐποίησε παρὰ τῷ Χίῳ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βολισσῷ. εἶτα ἀφίκετο εἰς Σάμον καὶ εὗρε γυναῖκα Κουροτρόφῳ θύουσαν καὶ λέγει τὰ ἔπη τάδε· κλῦθί μοι εὐχομένῳ, Κουροτρόφε· δὸς δὲ γυναῖκα τήνδε νέων μὲν ἀπανήνασθαι φιλότητα καὶ εὐνήν, ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν, ὧν οὐραὶ μὲν ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ. ἐπεὶ δὲ ἧκεν εἰς τὴν φρήτραν, ἔνθα ἐδαίνυντο, πῦρ ἀνέκαυσαν. ὁ δὲ Ὅμηρος εἶπεν· ἀνδρὸς μὲν παῖδες στέφανος, πύργοι δὲ πόληος, ἵπποι δ' ἐν πεδίῳ κόσμος, νῆες δ' ἐν θαλάσσαις· χρήματα αὔξει οἶκον, ἀτὰρ γεραροὶ βασιλῆες ἥμενοι εἰν ἀγορῇ, κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι. αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι. ὁ αὐτὸς Ὅμηρος μέλλων πλεῖν καὶ τῶν ναυτῶν δεξαμένων αὐτὸν, ἐμβὰς εἰς τὴν ναῦν ἔφη τὰ ἔπη ταῦτα· κλῦθι, Ποσείδαον μεγαλοσθενές, ἐννοσίγαιε, εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ Ἑλικῶνος· δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἀρέσθαι ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασι. δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο Μίμαντος αἰδοίων μετελθόντα βροτῶν ὁσίων τε κυρῆσαι· φῶτά τε τισαίμην, ὃς ἐμὸν νόον ἠπεροπεύσας ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τράπεζαν. ὁ αὐτὸς ἐπιτυχών τισι μέλλουσι πλεῖν εἰς Χῖον ἐδεῖτο αὐτῶν ἀναλαβεῖν αὐτόν. οἱ δὲ οὐκ ἐδέξαντο αὐτόν, καὶ λέγει τὰ ἔπη τάδε· ναῦται ποντοπόροι, στυγερῇ ἐναλίγκιοι αἴσῃ, πτωκάσιν αἰθυίῃσιν ἰὸν δύσζηλον ἔχοντες, αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος· δεινὴ γὰρ μετόπισθεν ὄπις [ξενίου] Διός, ὅς κ' ἀλίτηται. τῷ αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα ὑπὸ πίτυν ἐπιπίπτει καρπός, ὃν μετεξέτεροι στρόβιλον, οἱ δὲ κῶνον καλοῦσι· καὶ λέγει τάδε· ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἀνήσοι Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης, ἔνθα σίδηρος ἄριστος ἐπιχθονίοισι βροτοῖσιν ἔσσεται, εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσιν. ὁ αὐτὸς δειπνῶν μετὰ Γλαύκου, καὶ τῶν κυνῶν ἑστώτων καὶ ὑλακτούντων, καὶ δειπνησάντων, λέγει τάδε· Γλαῦκε βροτῶν ἐπιόπτα, ἔπος τί τοι ἐν φρεσὶ θήσω· πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι δοῦναι. τὼς γὰρ ἄμεινον· ὁ γὰρ καὶ πρόσθεν ἀκούει ἀνδρὸς ἐπερχομένου καὶ ἐς ἕρκεα θηρὸς ἰόντος. ταῦτα ἀκούσας ὁ Γλαῦκος ἐθαύμασε. τὸν αὐτὸν ἰδόντες κεραμέες κάμινον ἐγκάοντες κεράμου λεπτοῦ προσεκαλέσαντο αὐτόν, πεπυσμένοι ὅτι σοφὸς εἴη, καὶ ἐκέλευον σφίσιν ἀεῖσαι, φάμενοι δώσειν αὐτῷ τοῦ κεράμου. ὁ δὲ Ὅμηρος ᾄδει αὐτοῖς τὰ ἔπη ταῦτα, ἃ καλεῖται Κάμινος· εἰ μὲν δώσετε μισθὸν ἀοιδῆς, ὦ κεραμῆες, δεῦρ', ἀγαθὴ γαίη, καὶ ὑπέρσχεθε χεῖρα καμίνου, εὖ δὲ μαρανθεῖεν κότυλοι καὶ πάντα μάλ' ἱρά, φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὄναρ ἑλέσθαι, πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς, πολλὰ δὲ κερδῆναι, ἡμῖν δὲ δὴ ὥς σφιν ἀεῖσαι. ἢν δ' ἐπ' ἀναιδείην στρεφθέντες ψεύδη ἄρησθε, συγκαλέω δ' ἤπειτα καμίνων δηλητῆρας συντρῖψαι, Σμάραγόν τε καὶ Ἄσβεστον ἠδὲ Σαβάκτην Ὠμόδαμόν θ', ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζει. στεῖλαι πυραίθουσαν καὶ δώματα· σὺν δὲ κάμινος πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων. ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος, πάντα ἔντοσθεν αὐτῆς κεραμήϊα λεπτὰ ποοῦσα. δεῦρο καὶ Ἠελίοιο θύγατερ, πολυφάρμακε Κίρκη, ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα· δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας Κενταύρους, οἵ θ' Ἡρακλῆος χεῖρας φύγον οἵ τ' ἀπόλοντο. τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι δὲ κάμινος· αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά. γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην. ὃς δέ χ' ὑπερκύψοι, περὶ τούτου πᾶν τὸ πρόσωπον φλεχθῇ, ὅπως πάντες ἐπίστωνται αἴσιμα ῥέζειν. ὁ αὐτὸς παραχειμάζων ἐν τῇ Σάμῳ καὶ προσπορευόμενος πρὸς τὰς οἰκίας τῶν ἐπιφανεστάτων, ἐλάμβανέ τι, ἀείδων τὰ ἔπεα ταῦτα, ἃ καλεῖται Εἰρεσιώνη, ὡδήγουν δὲ αὐτὸν καὶ συμπαρῆσαν ἀεὶ τῶν παίδων τινὲς τῶν ἐγχωρίων. δῶμα προσετραπόμεσθα ἀνδρὸς μέγα δυναμένοιο, ὃς μέγα μὲν ἀυτεῖ, μέγα δὲ βρέμει, ὄλβιος ἀεί. αὐτὰρ ἀνακλίνεσθε θύραι· πλοῦτος γὰρ ἔπεισι πολύς, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα εἰρήνη τ' ἀγαθή· ὅσσα δ' ἄγγεα, μεστὰ μὲν εἴη, κυρκαίη δ' ἀεὶ κατὰ δόρπου ἕρπεο μᾶζα. νῦν μὲν κριθαίην εὐώπιδα σησαμόεσσαν. τοῦ παιδὸς δὲ γυνὴ κατὰ δίφρακα βήσεται ὑμνεῖν, ἡμίονοι δ' αὔξουσι κραταίποδες ἐς τόδε δῶμα. αὐτὴ δ' ὕφαιν' ἱστὸν ἐπὶ λέκτρα βεβηκυῖα, νεύματι τοι εὐμαὶ ἐνιαύσιος, ἔσται χελιδών. ἕστηκε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προθύροις ψιλὴ πόδας· ἀλλὰ φέρ’ αἶψα πέρσαι τῷ Ἀπόλλωνος γυιάτιδος. καί· εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐχ ἑστήξομεν· οὐ γὰρ συνοικήσοντες ἐνθάδ’ ἤλθομεν. ἥδετο ταῦτα ἐπὶ πολὺν χρόνον παρὰ τῶν παίδων ἐν τῇ Σάμῳ. ἀπήρχετο δὲ εἰς Ἴον καὶ κατὰ τὴν ὁδὸν ἤρξατο μαλακῶς ἔχειν καὶ ἐξελθὼν ἐκ τοῦ πλοίου ἀνεπαύετο ἐπὶ τῆς κυματωγῆς ἐπὶ πλείους ἡμέρας. κατέπλωσαν δὲ παῖδες ἁλιεῖς καὶ ἐκβάντες ἐκ τοῦ ἀκατίου, προσελθόντες πρὸς αὐτὸν εἶπον· ἄγε, ὦ ξένοι, ἐπακούσατε ἡμέων, ἂν ἄρα δύνησθε ἀναγνῶναι, ἅσς’ ἂν ὑμῖν εἴπωμεν. καί τις τῶν παρεόντων ἐκέλευε λέγειν. οἱ δὲ εἶπαν· ἡμεῖς, ἅσς’ ἂν εἵλομεν, κατελίπομεν· ἃ δὲ μὴ εἵλομεν, φέρομεν. οἱ δὲ φασὶ μέτρῳ εἰπεῖν αὐτούς· ἅσς’ ἕλομεν, λειπόμεσθα· ἃ δ’ οὐχ ἕλομεν, φερόμεσθα. οὐ δυναμένων δὲ τῶν παρόντων γνῶναι τὰ λεχθέντα, διηγήσαντο οἱ παῖδες, ὅτι ἁλιεύοντες οὐδὲν ἐδύναντο ἑλεῖν, καθήμενοι δὲ ἐν τῇ γῇ ἐφθειρίζοντο· καὶ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν ἀνῄρουν, ὅσους δὲ μὴ ἐδύναντο, εἰς οἶκον ἀπεφέροντο. ὁ δὲ Ὅμηρος ἀκούσας ταῦτα ἔλεγε τὰ ἔπη τάδε· τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάασθε, οὔτε βαθυκλήρων οὔτε ἄσπετα μῆλα νεμόντων. ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν Ὅμηρον τελευτῆσαι ἐν τῇ Ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων λεχθέν, καθάπερ οἴονταί τινες, ἀλλὰ τῇ μαλακίᾳ. καὶ ἐτάφη ἐν τῇ Ἴῳ ἐπ’ ἀκτῆς, καὶ ἐπέγραψαν οἱ Ἰῆται ἐπίγραμμα· ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον. ἡ δὲ ποίησις ἐκπέπτωκε καὶ ἐθαυμάζετο ὑπὸ πάντων.

252 Ὅμηρος: ἄγνωστος τοῖς ἀνθρώποις. Ἡρόδοτος δὲ ὁ ἱστορικὸς ἔγραψε βίον Ὁμήρου, μᾶλλον τοῦδε ἁρμοδιώτερον.

253 Ὅμηρος: Ἀνδρομάχου καὶ Μυροῦς Βυζαντίας, γραμματικὸς καὶ τραγῳδιῶν ποιητής· διὸ συνηριθμήθη τοῖς ἑπτά, οἳ τὰ δευτερεῖα τῶν τραγικῶν ἔχουσι καὶ ἐκλήθησαν τῆς Πλειάδος. ἤκμαζεν ὀλυμπιάδι ρκδʹ. ἔγραψε δὲ τραγῳδίας μεʹ.

254 Ὅμηρος, Σέλλιος χρηματίσας, γραμματικός. ἐποίησε τάδε· ὕμνους, παίγνια δι’ ἐπῶν, εἴδη πλεῖστα· καταλογάδην Περὶ τῶν κωμικῶν προσώπων, Περιοχὰς τῶν Μενάνδρου δραμάτων.

255 Ὁμιλαδόν: κατ’ ἀθροίσματα καὶ τάγματα.

256 Ὁμιλεῖ· δοτικῇ. συναναστρέφεται, ἢ ἀπαντᾷ, ἢ ἐντυγχάνει.

257 Ὅμιλος: ἄθροισμα, ὄχλος, πλῆθος. Ὅμηρος· ὅμιλος τερπόμενοι. πρὸς τὸ νοητὸν ἀπήντηκε τὸ ὅμιλος.

258 Ὁμίχλη: ἀορασία, ἢ παχὺς ἀήρ. Ὁμίχλη, ὁ τεθολωμένος ἀὴρ καὶ μὴ διαυγής, μηδὲ λαμπρός. Ὅμηρος· εὖτ’ ὄρεος κορυφῇσι νότος κατέχευεν ὁμίχλην. ἐτυμολογεῖται δὲ παρὰ τὸ τοῖς ὄμμασιν ἀχλὺν παρέχειν. Ἀριστοφάνης· ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης, ἃ πανουργεῖς, μὴ καθορᾶται. ἀντὶ τοῦ ὑπὸ τῶν περιεστώτων κακῶν καὶ τοῦ πολέμου συνεχόμενος μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα.

259 Ὀμιχῶ: ῥῆμα.

260 Ὄμνυμι· δοτικῇ. καὶ Ὀμνύναι· Ἀριστοφάνης Ὄρνισιν. οὐκ ὄμνυσι γάρ, ἀλλ’ εὔχεται. ὄμνυμι μένειν ἐν τούτοις, ὡς πᾶσι τοῖς κριταῖς νικᾶν. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης· ἔκριναν γὰρ κριταὶ τοὺς κωμικούς. οἱ δὲ λαμβάνοντες τὰς εʹ ψήφους εὐδαιμόνουν.

261 Ὁμογάλακτας Φιλόχορος καλεῖ τοὺς γεννήτας, τοὺς ἐκ τοῦ αὐτοῦ πρώτου γένους τῶν λʹ γενῶν. ζήτει ἐν τῷ γεννῆται.

262 Ὁμόγνια: ὁμογενῆ, γνήσια, ἢ φίλα.

263 Ὁμόγνιος: ὁ τὰ τοῦ γένους ἐφορῶν δίκαια. ἢ ὁμογενὴς ἢ γνήσιος, φίλος.

264 Ὁμόγνιε Ζεῦ: τὴν ὁμοιότητα θαυμάζων λέγει. οἷον ὦ ὁμοιότατε.

265 Ὁμογνώμονος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 266 Ὁμοδίαιτος: ὁμοτράπεζος.

○ 267 Ὁμόδουλος: σύνδουλος.

○ 268 Ὁμοερκεύς: Δείναρχος, ἀντὶ τοῦ ὑφ’ ἓν ἕρκος. τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον.

○ 269 Ὁμοθυμαδόν: ὁμοφρόνως, ὁμοψύχως.

○ 270 Ὁμόθυμος: ὁμόψυχος, ὁμόφρων, ὁμόλογος.

○ 271 Ὁμοκλήσας: ἀπειλήσας.

○ 272 Ὁμολογία· ὅτι Ἀριστοτέλης ἐν τοῖς Τόποις, ὅπερ ἐν τοῖς Ἀναλυτικοῖς ἐξ ὑποθέσεως κοινότερον εἶπε, τοῦτο ἐν τοῖς Τόποις προσεχέστερον ἐξ ὁμολογίας εἶπεν. ἐπεὶ γὰρ μὴ αὔταρκες τὸ ἐφ’ ἑνός τινος δεικνύναι τῶν ὑπό τι κοινῶν πρὸς τὴν τοῦ κοινοῦ τε καὶ καθόλου κατασκευήν (οὐ γάρ ἐστι τὸ ἐν μέρει τοῦ καθόλου δεικτικόν), δεῖν φησι προδιομολογεῖσθαι καὶ συντίθεσθαι, ὅτι ὡς ἐφ’ ἑνός, οὕτω καὶ ἐπὶ τῶν ἄλλων· ὡς ἐπὶ μιᾶς αἰσθήσεως οὕτω καὶ ἐπὶ πασῶν. δείξαντες ἐπὶ μιᾶς, οἷον τῆς ἁφῆς, ὅτι διὰ πάθους τὴν ἀντίληψιν ποιεῖται, ἔχοιμεν ἂν ὅτι καὶ τὰς ὁμοίας ὁ αὐτὸς λόγος. καὶ ἐπὶ τῶν ἀντικειμένων, δειχθέντος ἐπὶ τῶν πρός τι, ὅτι ἡ αὐτὴ ἐπιστήμη, ἢ ὅτι τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου γίνεται, εἴη ἂν κείμενον καὶ ἐπὶ τῶν ἄλλων ἀντικειμένων οὕτως ἔχειν.

○ 273 Ὁμολογία: καὶ ἡ συμφωνία. Αἰλιανός· οἱ δὲ ὁμολογίας ἐμμελεῖς ποιησάμενοι πρὸς τοὺς Ἀρκάδας τοὺς αἰχμαλώτους ἐκομίσαντο.

○ 274 Ὁμολογῶ: ἀντὶ τοῦ συναινῶ. Ἀριστοφάνης Πλούτῳ. περὶ τοῦ Διὸς γὰρ εἰπόντος Καρίωνος, ὅτι διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους, ἔφη· ὁμολογῶ σοι. καὶ Αἰλιανός· ὁ δὲ ὅσα ἤκουσε τοῖς οἰκείοις ὁμολογεῖ, καὶ ἐκεῖνοι περιχαρείας αὐτίκα ὑπεπλήσθησαν.

○ 275 Ὁμολώϊος: Ζεὺς ἐν Θήβαις καὶ ἐν ἄλλαις πόλεσι Βοιωτικαῖς καὶ ἐν Θεσσαλίᾳ· ἀπὸ Ὁμολῴας προφήτιδος, τῆς Ἐνυέως· ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστοφάνης ἐν β′ Θηβαϊκῶν. Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς Συναγωγῆς, διὰ τὸ παρ’ Αἰολεῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι. ἔστι δὲ καὶ Δημήτηρ Ὁμολωΐα ἐν Θήβαις.

○ 276 Ὁμονήδυος: ἀδελφὸς γνήσιος.

○ 277 Ὀμόργνυσιν: ἀπομάσσει, ἀποψήχει.

○ 278 Ὀμόρξας: ἐκμάξας, ἀποψήσας.

○ 279 Ὁμορροθεῖ: συμφωνεῖ. καὶ Ὁμορροθῶ, τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν. νῦν δὲ ἀντὶ τοῦ συνεργῶ. Ἀριστοφάνης Ὄρνισιν· ὁμορροθῶ, συνθέλω.

○ 280 Ὅμορος: πλησιόχωρος.

○ 281 Ὁμοροῦσα: γειτνιῶσα, πλησίον ἐλθοῦσα.

○ 282 Ὁμορρόφιον: ὁμόσκηνον.

○ 283 Ὁμόσε: ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον, ἢ ἐξ ἐναντίας, σφοδρῶς, θρασέως. Αἰλιανός· οἱ Ἀκαρνᾶνες συγγραφεῖς ὁμόσε ἔχουσι τοῖς ποιηταῖς. καὶ αὖθις· οὐ μὴν συνήθροισεν ἔτι τὰ ὀστᾶ, ὁμόσε τῷ δαίμονι τῷ ταῦτα πράξαντι μὴ χωρῶν. καὶ αὖθις· ὁμόσε ἰτέον τοῖς πολεμίοις.

○ 284 Ὁμόσε ἰέναι: ἀντὶ τοῦ παραβαλέσθαι· λέγεται δὲ ἐκ μεταφορᾶς ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν. ὁμοῦ. καὶ αὖθις ὁμόσε· ὁμοῦ λαβόντες τὰ ὅπλα ὁμόσε ἴασι τοῖς πολεμίοις.

○ 285 Ὁμόσιτον: ὁμοῦ τρεφόμενον.

○ 286 Ὁμόσπονδος: φίλος.

○ 287 Ὁμοστιχάει: ὁμοῦ περιπατεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 288 Ὁμόστολος: τῆς αὐτῆς ὁδοῦ. καὶ αὖθις· τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα.

○ 289 Ὁμόσφυρος: ὁ ἐν ταὐτῷ τὴν πορείαν ποιούμενος.

○ 290 Ὁμοτέρμονας: πλησιοχώρους, τοὺς ὁμοῦ τὰ τέλη ἔχοντας.

○ 291 Ὁμοῦ: ἔγγιστα. ὁμοῦ τι τῇ πληγῇ ἡ παῖς ἦν, καὶ ἀπέσφακτο ἄν, εἰ μὴ σκηπτὸς κατηνέχθη ἀμφοῖν μέσος.

○ 292 Ὁμοῦ: ἐγγύς. Ἀριστοφάνης· πρὶν οὖν ὁμοῦ γενέσθαι, σιγᾶθ', ἵν' αὐτῆς πυθώμεθα. καὶ Μένανδρος· ἔστι δὲ ὁμοῦ τὸ χρῆμα. παρὰ δὲ Σοφοκλεῖ ἀντὶ τῆς σύν· θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα κείνων πέποιθα τοῦτ' ἐπισπάσειν κλέος. καὶ Δημοσθένης τῷ ὁμοῦ ἀντὶ τοῦ ἐγγὺς κέχρηται ἐν τῷ κατὰ Ἀριστογείτονος· εἰσὶν ὁμοῦ δισμύριαι χιλιάδες Ἀθηναίων. ἔνθα γὰρ βούλεται δηλοῦν ὅτι ἐγγὺς τῶν δισμυρίων εἰσιν, ἐπεὶ ὅτι γε οὐκ ἦσαν δισμύριοι φανερόν. Ἰσαῖος δὲ τὸ ὁμοῦ ἐπὶ χρόνου ἔταξεν ἐν τῷ πρὸς Δωρόθεον· 〈ἐσ〉 τοσοῦτον πονηρίας ὁμοῦ καὶ τόλμης ἐλήλυθε. καὶ ἐν τῷ πρὸς Καλλικράτην· οὐ μὴν ἀλλὰ τούτου πάντα ὁμοῦ ταῦτα ἐπιτάξαντος. Λυσίας δὲ ἐπὶ τόπου τοῦτο ἔταξεν ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ· γυναικῶν δὲ πολλῶν καὶ ἀνδρῶν ὁμοῦ κατακειμένων. καὶ Ὅμηρος ἐπὶ τόπου· Πάτροκλος γὰρ λέγει· μὴ ἐμὰ σῶν ἀπάνευθε τιθέμεναι ὀστέ', Ἀχιλλεῦ, ἀλλ' ὁμοῦ, ὡς ἐτράφηεν ἐν ἡμετέροισι δόμοισι. καὶ Αἰλιανός· ὁ δὲ Σύφαξ ὁμοῦ τι τῷ θανάτῳ ὢν ἀνεφθέγξατο τὰ ἐκ τῆς τραγῳδίας ἰαμβεῖα, ὡς δεδιττόμενος τὸν Μακεδόνα· ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς, μὴ πῆμα σαυτῇ καὶ μετάνοιαν τιθῇς. οὐ μὴν ἔσπασέ τι ἡ μήρινθος αὐτῷ. καὶ αὖθις· μὴ ἰσχύουσα τεκεῖν ὁμοῦ τι τῷ ῥαγῆναι ἦν. ἔστι δὲ τοῦτο πολὺ παρὰ Ἀττικοῖς. ὡς καὶ Μένανδρος· ἤδη γὰρ τοῦ τίκτειν ὁμοῦ.

○ 293 Ὀμοῦμαι.

○ 294 Ὁμοφυής: ὁμογενής.

○ 295 Ὁμοχώρους: πλησιοχώρους.

○ 296 Ὁμῶλαξ: ὁ ὁμοαῦλαξ, ὁ γείτων.

○ 297 Ὀμώμοκα.

○ 298 Ὀμωμοσμένος.

○ 299 Ὁμώνυμα: τῶν πολλαχῶς λεγομένων ἄλλα κατ' ἄλλον τρόπον λέγεται. καὶ τὰ μὲν ἐν ὀνόμασι τὸ διττὸν ἔχει, ἃ καλοῦμεν ὁμώνυμα, τὰ δὲ ἐν λόγῳ, ἃ καλοῦσιν οἱ φιλόσοφοι ἀμφίβολα. καὶ τὰ μὲν ὁμώνυμά ἐστι προφανῆ, τὰ δὲ ἀμφίβολα, οἷον ἡ ἐπιστήμη, ἐπεὶ πλειόνων ἐστί, πλείω σημαίνει καὶ ἔστιν ἀμφίβολος. ἢ γὰρ οὕτως πλειόνων ἡ αὐτὴ καὶ μία ἐπιστήμη, ὡς τοῦ τέλους καὶ τῶν πρὸς τὸ τέλος, οἷον οἰκοδομικὴ καὶ οἰκίας ἐστὶν ἐπιστήμη ὡς τέλους καὶ δι' ὧν οἰκία γίνεται, ἅπερ ἐστὶ πρὸς τὸ τέλος· πλειόνων οὖν ἡ αὐτή. ὁμοίως καὶ ἰατρικὴ ὑγιείας ποιητικῶν, οἷον διαίτης καὶ τομῆς καὶ καύσεως καὶ ἑτέρων πλειόνων.

○ 300 Ὁμωρόφιος.

○ 301 Ὅμως: ἐπίρρημα.

○ 302 Ὁμωχαίτας: Θουκυδίδης τοὺς συννάους θεοὺς καὶ ὁμορροφίους. Βοιωτικὴ δὲ ἡ λέξις. Ὁμωχαίτας δαίμονας, τοὺς συμμετέχοντας τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν.

○ 303 Ὄμπνιον νέφος: μέγα, πολύ, ηὐξημένον. Σοφοκλῆς Θησεῖ. καὶ Ὄμπνιος χείρ, ἡ πλουσία.

○ 304 Ὄμπνιον ὕδωρ: τὸ τρόφιμον, καὶ πολύ. λέγεται καὶ Ὀμπνιηρὸν ὕδωρ, τὸ τρόφιμον.

○ 305 Ὄμπνιος: ἡ Δημήτηρ, αἰτία οὖσα τοῦ ἀναπνεῖν.

○ 306 Ὄμπνιος λειμών: ὁ σῖτος, καὶ οἱ Δημητριακοὶ καρποί· ἐπεὶ Ὀμπνία ἡ Δημήτηρ λέγεται.

○ 307 Ὄμπνιος χείρ: πλουσία χείρ.

308 Ὁμοίας λαβάς: ἀντὶ τοῦ μεταλήψεις καὶ ἀντιμεταθέσεις.

309 Ὁμοΐϊος: ὁ ὁμοίως πᾶσι χαλεπός.

310 Ὁμοιομέρεια. Ἀναξαγόρας ὁ φιλόσοφος ἔλεγε τὴν σελήνην οἰκήσεις ἔχειν καὶ λόφους καὶ φάραγγας. ἀρχὰς δὲ τὰς ὁμοιομερείας· καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λέγομεν τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι.

311 Ὅμοιον, εἰ καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο, ὥσπερ οὐκ αὐτὸς ὢν ὁ τῆς θεοῦ τὸ Γοργόνειον ἐξ ἀκροπόλεως ἀφελόμενος.

312 Ὁμοιόστομος ἐν πορείᾳ διφαλαγγία ἐστιν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν τεταγμένους οἷον ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων ἑκατέρας φάλαγγος ἔχει.

313 Ὁμοίωσις: ὁμοιότης. καὶ ζήτει ἐν τῷ ὑποβολῇ. καὶ ὁμοιότητι δοτική.

314 Ὁμοίωσις διττή, ἡ μέν τις ταὐτόν, ἡ δὲ ἕτερον. ὅτε δὲ λέγει Πλωτῖνος· ὁμοίωσις θεῷ, ἄλλον τρόπον ληπτέον.

315 Ὀμφακίαν: ὠμὸν καὶ σκληρόν. Ἀριστοφάνης· δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι τὸν θυμὸν ἀνδρῶν ὥστε βάλλειν καὶ βοᾶν ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον. ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὕτω δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι καὶ οὔπω πέπειροι· ἐκ γὰρ τοῦ ἐναντίου, πέπανον τὸ ὥριμον καὶ ἡδύ. ἴσον δὲ ἴσῳ φέρον, ἀντὶ τοῦ δίκαιον, καὶ ἐξ ἴσου. ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ὕδωρ. λέγει δὲ κατ' ἴσον εἰπεῖν καὶ ἀκοῦσαι.

316 Ὀμφαλητομία: ὅτε αἱ μαῖαι τὸν ὀμφαλὸν τοῦ βρέφους ἀποτέμνουσι. καὶ αὐταὶ δὲ ὀμφαλητόμοι λέγονται. καὶ Ὀμφάλιον, ὁ ὀμφαλὸς τῆς ἀσπίδος. Ζηνὶ τόδ' ὀμφάλιον σάκεος τρύφος, ᾧ ἐπὶ λαιὰν ἔσχεν ἀριστεύων, ἄνθετο Νικαγόρας.

317 Ὀμφαλόν: τὸ μεσαίτατον. καὶ Ὀμφάλιον ἀσπίδος, τὸ μεσαίτατον αὐτῆς.

318 Ὀμφαλός: οἷόν τις ῥίζα τοῦ βρέφους ἐστί· δι' ἐκείνου γὰρ αὔξεται καὶ τρέφεται. ὀμφαλός σου οὐ περιετμήθη.

319 Ὄμφαξ: σταφυλὴ δριμεῖα οὖσα καὶ οὐ πέπειρος. θηλυκῶς δὲ λέγει τὰς ὄμφακας Πλάτων ὁ κωμικὸς ἐν δράματι Ἑορταῖς· καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας.

320 Ὄμφαξ: ὠμόφαξ τις ὤν. ὁ ὠμὸς εἰς τὸ φαγεῖν. καὶ παροιμία· Σικελὸς ὀμφακίζεται.

321 Ὀμφή: θεία κληδών, ἢ φήμη.

322 Ὀμφήν: κληδόνα, φήμην θείαν, ἢ ὀνείρου φάντασμα.

323 Ὄν: τὸ οἷόν τε ἐστὶ ποιεῖν ἢ πάσχειν.

324 Ὄναγρος: εἶδος ζῴου.

325 Ὄναγροι: μηχανήματα, οἱ λεγόμενοι ἅρπαγες, οἵγε ἁρπάζειν τοὺς προσιόντας ἐπιβαλλόμενοι εἶχον.

326 Ὄναρ: ὄνειρος. ζήτει ἐν τῷ Ἀλκιβιάδης. λύσις ὀνείρου· ὄναρ καθ' ὕπνους νητρεκὲς λαλεῖν τόδε. ὄναρ ἡ μάρτυς αὐτῇ ἐφίσταται.

327 Ὀνάσιμος, Κύπριος ἢ Σπαρτιάτης, ἱστορικὸς καὶ σοφιστής, τῶν ἐπὶ Κωνσταντίνου γενομένων. ἔγραψε Στάσεων διαιρέσεις, Τέχνην δικανικὴν πρὸς Ἀψίνην, Περὶ ἀντιρρητικῆς τέχνης, προγυμνάσματα, μελέτας, ἐγκώμια, καὶ ἄλλα πλεῖστα.

328 Ὄνασθαι: ἐπαπολαῦσαι, ὠφεληθῆναι. ἐπὶ τούτοις πολλὰ καὶ ἀγαθὰ τῷ βασιλεῖ ηὔχοντο καὶ ὄνασθαι τῶν παρόντων.

329

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀναίατο: ἀπολαύσειαν. Σοφοκλῆς· μηδέποτ' ἀγλαΐας ὀναίατο· τουτέστιν ἡδονῆς, δόξης· τοιάδ' ἀνύσαντες ἔργα. ἤτοι τὸν ἐμὸν πατέρα ἀνελόντες.

330 Ὀναίμην: ἐπιτύχοιμι, ἀπολαύσω. καὐτὴ γὰρ ἐγώ, οὕτως ὀναίμην τῶν τέκνων.

331 Ὄναιντο: ὠφεληθεῖεν. καὶ ὄνασθαι, ὠφεληθῆναι.

332 Ὀνεία: ἡ τοῦ ὄνου δορά. τὴν σάγην τε τοῦ κτήνους καὶ τὴν ὀνείαν προσεπέθηκεν ἐκδείρας. Βάβριός φησιν.

333 Ὄνειαρ: ὄνειρον. ἆ μέγα Βαττιάδαο σοφοῦ περίπυστον ὄνειαρ· ἦ ῥ' ἐτεὸν κεράων, οὐδ' ἐλέφαντος ἔης. ἀντὶ τοῦ ἀληθής· παρὰ τὸ Ὁμηρικόν· δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσιν ὀνείρων.

334 Ὀνείατα: οὐ πάντως βρώματα, ὡς οἱ γλωσσογράφοι, ἀλλὰ πάντα τὰ εἰς ὄνησιν ἐπιτήδεια. Ὅμηρος· ὀνείατ' ἄγοντα. οὐκ εἶπε δὲ φέροντα· οὐδὲ γὰρ ἐβάσταζεν.

335 Ὀνείδειος λόγος: ὁ ὀνειδιστικός.

336 Ὀνειδίζω. σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἅ σοι οὐδεὶς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα. οἷον οὐδείς ἐστιν ὃς οὐ ταῦτά σοι ὀνειδισεῖ, ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα ἀντὶ τοῦ ταχέως. καί σε μετ' ὀλίγον ἐροῦσι τυφλόν. πρὸς Τειρεσίαν ὁ λόγος.

337 Ὀνειδίζω· δοτικῇ. οἴεσθε καὶ τὸν Σολομῶντα πικρῶς ὑμῖν ὀνειδίζειν. καί, μηδενὶ συμφορὰν ὀνειδίσῃς. αἰτιατικῇ δέ· καὶ τίς ἐστιν οὗτος, ὃς ὠνείδισε θεοῦ παράταξιν; καί, μή μοι γένοιτο καὶ τοῦτο ὀνειδισθῆναι.

338 Ὀνειδιῶ: ὀνειδίσω.

339 Ὀνειδίσας: μεμψάμενος. ὀνειδίσας εἰς ἀνανδρίαν αὐτῷ καὶ κακίαν.

340 Ὄνειδος: μέμψις. ζώειν γὰρ δίχα παντὸς ὀνείδεος ἤθελ' ἑκάστα, ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

341 Ὀνεῖον: ἐν ᾧ οἱ ὄνοι ἵστανται.

342 Ὀνειρείῃσι: ποιητικῶς.

343 Ὀνειρολεσχία: ἡ ὕβρις.

344 Ὀνειρόπληκτον: ὑπὸ ὀνείρων πληττόμενον. ὅτι, ὥς φησι Πυθαγόρας, ὀνείρους καὶ τοῖς κτήνεσι γίνεσθαι καὶ νόσους καὶ σημεῖα.

345 Ὄνειρον ἐνυπνίου διαφέρει· ἕτερον γάρ ἐστι καὶ οὐ ταὐτό. ἀλλὰ καὶ τὸ ὄνειρον καὶ ἐνύπνιον καλῶς εἴποι τις ἄν· ὅταν δὲ τεχνικῶς λέγῃ τις, κυρίως ἕκαστον χρὴ καλεῖν, καὶ τὸ μὲν ἀσήμαντον καὶ οὐδενὸς προαγορευτικόν, ἀλλ' ἐν μόνῳ τῷ ὕπνῳ τὴν δύναμιν ἔχον, γινόμενον δὲ ἐξ ἐπιθυμίας ἀλόγου ἢ ὑπερβάλλοντος φόβου ἢ πλησμονῆς ἢ ἐνδείας, ἐνύπνιον χρὴ καλεῖν, τὸ δὲ μετὰ τὸν ὕπνον ἐνέργεια ὂν καὶ ἀποβησόμενόν ἐστιν ἀγαθὸν ἢ κακὸν ὄνειρον. πολλάκις δὲ καταχρηστέον τοῖς ὀνόμασιν, ὡς καὶ Ὅμηρος· θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος.

346 Ὀνειροπολεῖ: φαντάζεται. οὐ χρεὼν οὖν ταῦτα τοὺς Σαρακηνοὺς ὀνειροπολεῖν. Ὀνειροπολεῖν τοῦ ὀνειρώσσειν διενήνοχε· τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώσσειν ἐπὶ τῶν αὐτομάτως γονὴν ἀφιέντων· ὅπερ οἱ ἐρωτόληπτοι πάσχουσιν, ἢ ἀπὸ βρωμάτων ἢ ἀπὸ δαιμόνων ἐνεργείας τοῦτο πάσχοντες.

347 Ὀνειροπόλος: ὀνειροκρίτης.

348 Ὄνειρος· ζήτει ἐν τῷ ἄνθρωπος.

349 Ὄνειρος· ἀγκῶνες, οἵ εἰσι μέρος τι τῆς οἰκίας. καὶ πάντα τὰ προσπησσόμενα κατ' ὄναρ τὸ κόσμιον τοῦ βίου σημαίνει ἐνύπνιον. ὅτι τὰ ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας.

350

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀνείρωξις: ἡ τῶν ὀνειράτων δεῖξις. καὶ Ὀνειρώσσω, τὸ ἐνυπνιάζομαι.

351 Ὀνησίκριτος: ὄνομα κύριον. ὁ δὲ Ὀνησίκριτος ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει. τουτέστι τοῦ Ξενοφῶντος.

352 Ὀνηθῆναι: ὠφεληθῆναι. Ξενοφῶν· ἔχρηζον πρὸς τὰ χωρία προσβάλλειν καὶ τὴν στρατιὰν ὀνηθῆναί τι.

353 Ὀνηλάτης: ὁ ὄνους ἐλαύνων.

354 Ὀνήσασθαι: ὠφελεῖσθαι, ἀπολαβεῖν.

355 Ὀνησιδώρα: ὄνομα κύριον.

356 Ὀνήσιμος: ὠφέλιμος. καὶ ὄνομα κύριον.

357 Ὀνησιφόρος: ὠφέλειαν φέρων.

358 Ὀνητήν: ἐναπόλαυστον.

359 Ὀνήτωρ: πρὸς ὃν Δημοσθένης ἔγραψε τοὺς ἐξούλης λόγους. εἷς δὲ ἦν τῶν χορηγησάντων, οὗ καὶ Ἰσοκράτης ἐν τῷ Περὶ ἀντιδόσεως μέμνηται.

360 Ὀνίας: ὄνομα κύριον.

361 Ὀνιαία: τοῦ ἵππου τὸ ἀφόδευμα. καὶ Ὀνίδες, τὰ τῶν ὄνων ἀποπατήματα, ἃ ἐπίτηδες πεπλασμένα ἐστίν.

362 Ὀνίδιον: ὑποκοριστικῶς τὸ ὀνάριον.

363 Ὀνίνασθαι: ὄνασθαι, ὠφελεῖσθαι.

364 Ὀνίνησιν: ὠφελεῖ. καὶ Ὀνίνημι· αἰτιατικῇ.

365 Ὄνιον: ὠφέλιμον.

366 Ὄνθος: βόλβιτον. τουτέστιν ἡ τῶν βοῶν κόπρος. Ὅμηρος· ἐν δ᾽ ὄνθου βοέος πλῆτο στόμα. φασὶ δὲ κάνθαρον τὸ ζωΰφιον· λέγεται δὲ εἰς ὄνθον ἀποσπερματίζειν καὶ οὕτω περιστρέφειν τοῖς ποσίν, ἕως ὅτου ἐγγυμνασθὲν τὸ σπέρμα ἀποδοθῇ καὶ ἐγγεννήσῃ. θῆλυς δὲ κάνθαρος οὐ γίνεται, ἀλλὰ πάντες ἄρσενες γεννῶνται. καὶ ὀνθηλεύουσι τὸν οἶνον συμμιγνύντες αὐτῷ σαπρόν.

367 Ὀνόγυρος: φυτὸν ἀλεξίκακον, ὅπερ τριβόμενον ὄζει· οἱ δὲ ἀνάγυρον αὐτό φασιν. ὅθεν μετηνέχθαι καὶ τὴν παροιμίαν· κινεῖς τὸν ἀνάγυρον. ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά.

368 Ὀνοκίνδιος: ὀνηλάτης, ἀστραβηλάτης.

369 Ὀνομάδημος: ὄνομα κύριον.

370 Ὀνομάζων: ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος. Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

371 Ὀνομακλῆς: ὄνομα κύριον. ἡ δοτικὴ Ὀνομακλέϊ, Ὀνομακλεῖ.

372 Ὀνομάκλυτος Ἄλτης: ὑφ᾽ ἓν ἀναγνωστέον· σημαίνει γὰρ τὸ ὅλον ὀνόματι κλυτός. ὁ γὰρ αὐτὸς εἴη τοῦ διαβεβοημένου.

373 Ὀνομαστί: ἐξ ὀνόματος.

374 Ὀνομαστός: πολύς. καί, Οὐδ᾽ ὀνομαστός, ὁ μὴ ῥηθῆναι δυνάμενος, ὁ πολύς. τοῦ δὲ λέων ὤρουσε κατὰ στίβον, ἀνδράσι δεῖμα θαρσαλέοις, Γάλλῳ δ᾽ οὐδ᾽ ὀνομαστὸν ἄχος.

375 Ὀνόματα: γνῶσις. Δαβίδ· ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. τουτέστι διαφορὰς καὶ τὴν τούτων θέσιν τε καὶ διάταξιν καὶ τὴν πρὸς ἄλληλα σχέσιν· οὐ γὰρ ὀνόμασι κεχρημένος ὁ θεὸς τοὺς ἀστέρας καλεῖ· ἄψυχα γὰρ ταῦτα καὶ λόγου ἐστερημένα· ἄνθρωποι δὲ ταῦτα ἔθεσαν.

376 Ὀνομήνω: ὀνομάσω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 377 Ὄνον ἀπότρεψαι κνώμενον.

○ 378 Ὄνον ὄρνιν: λέγεταί τι τοιοῦτον, ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀρρώστου εἶδεν ὄνον ἐκ πτώματος ἀναστάντα. ἀκήκοε δὲ καὶ ἑτέρου λέγοντος, πῶς ὄνος ὢν ἀνέστη; ὁ δὲ ἔφη· ὁ νοσῶν ἀναστήσεται. καὶ ἀνέστη. καὶ αὖθις· ὄρνιν νόμιζε πάνθ' ὅσα περὶ μαντείας διακρίνει. πάντα γὰρ οἰωνοὺς ἐκάλουν, καὶ τὰ μὴ ὄρνεα. θεράποντ' ὄρνιν. ἐπεί τινας εἰώθασι τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίστους.

○ 379 Ὀνόουλφις: ὄνομα κύριον. ἐθνικόν. ζήτει ἐν τῷ Ἁρμάτιος.

○ 380 Ὄνος: τὸ ζῷον, καὶ ὄργανον.

○ 381 Ὄνος: τὸ περὶ τὰ τῶν ὑδάτων ἀγγεῖα πολύπουν καὶ συστρεφόμενον.

○ 382 Ὄνος ἄγων μυστήρια: ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων. τοῖς γὰρ μυστηρίοις ἐξ ἄστεος εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων ἔφερον τὰ εἰς τὴν χρείαν. ὅθεν ἡ παροιμία, διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοια πάσχων τῷ πιεζεῖσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν Ἀριστοφάνης.

○ 383 Ὄνος ἄγων μυστήρια: ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων. τότε γὰρ θλίβονται μᾶλλον τὰ πρὸς τὴν χρείαν ἀγόμενα βαστάζοντες. Δήμων ἐπὶ τοῦ μύλου γενέσθαι φησίν, ὅτι στεφανοῦσιν αὐτὸν τότε.

○ 384 Ὄνος ἀκροᾷ σάλπιγγος· Εὔπολις Ταξιάρχαις.

○ 385 Ὄνος πρὸς αὐλόν: παροιμία ἐπὶ τῶν μὴ συγκατατιθεμένων μηδὲ ἐπαινούντων· διὰ τὸ παντελῶς ἀναίσθητον τοῦ ὄνου.

○ 386 Ὀνόσανδρος, φιλόσοφος Πλατωνικός. Τακτικά, Περὶ στρατηγημάτων, Ὑπομνήματα εἰς τὰς Πλάτωνος Πολιτείας.

○ 387 Ὀνόσαιτο: ἐκφαυλίσοι.

○ 388 Ὄνος ἐν μελίτταις· Κράτης Τόλμαις. καί, ὄνος ἐν μύρῳ, παροιμία.

○ 389 Ὄνος εἰς ἄχυρα: παροιμία ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυστικῶς χρωμένων.

○ 390 Ὄνος εἰς Κυμαίους: ἐπὶ τῶν παραδόξων καὶ σπανίων. διότι παρὰ Κυμαίοις ἐδόκει φοβερὸς εἶναι ὁ ὄνος. καὶ κατὰ τουτουσὶ τοὺς καιροὺς πάντες ἦσαν Κυμαῖοι, σεισμοῦ καὶ χαλάζης φοβερώτατα εἶναι τὸν ὄνον ἡγούμενοι. ὅτι τὸ ἐπ' ὄνου φέρειν τινὰ γυμνὸν τῶν ἀτιμιῶν ἡ μεγίστη Παρθυαίοις νενόμισται.

○ 391 Ὄνος λύρας· Μένανδρος Ψοφοδεεῖ. ἡ δ' ὅλη παροιμία, ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς. λέγεται ἐπὶ τῶν μὴ συγκατατιθεμένων μηδὲ ἐπαινούντων. ὅτι Ἀμμωνιανῷ τῷ γραμματικῷ συμβέβηκεν ὄνον κεκτῆσθαι, σοφίας ἀκροατήν. καὶ ζήτει ἐν τῷ Ἀμμωνιανός.

○ 392 Ὄνος στύπαξ: τὸ στύπαξ, ὅτι στυπιοπώλης.

○ 393 Ὄνος τὰ ὦτα κινῶν: ἐπὶ τῶν ἀναισθήτων κατὰ ἀμφότερα. τό τε γὰρ ζῷόν ἐστι νωχελές· τὸ δὲ τὰ ὦτα κινεῖν, οἱονεὶ πρὸ τοῦ λαλῆσαί τινα πάνυ τοῦτο ἀκηκοέναι προσποιεῖσθαι· ὅπερ ἐστὶν ἀναισθησίας. πῶς γὰρ ἂν γένοιτο τινι πάντα ἐγνωκέναι καὶ πρὸ τοῦ λαληθῆναι αὐτῷ, κἂν ὦτα μεγάλα ἔχῃ καθάπερ ὄνος.

○ 394 Ὄνος ὕεται: ἐπὶ τῶν μὴ ἐπιστρεφομένων. Κηφισόδωρος Ἀμαζόσι· σκώπτεις μ'· ἐγὼ δὲ τοῖς λόγοις ὄνος ὕομαι. Κρατῖνος Δραπετίσιν· οἱ δὲ πυππάζουσι περιτρέχοντες, ὁ δ' ὄνος ὕεται.

○ 395 Ὀνοτοί: ψεκτοί, μεμπτοί.

○ 396 Ὄνου θανάτους: ἐπὶ τῶν ἀλλόκοτα διηγουμένων.

○ 397

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὄνου παρακύψεως: ἐπὶ τῶν καταγελάστως συκοφαντουμένων εἴρηται ἡ παροιμία. φασὶ γάρ, ὅτι κεραμεύς τις, οἱ δὲ κοροπλάθος, ἔπλαττε πολλὰς ὄρνις ἐν τῷ ἐργαστηρίῳ. ὄνος δὲ παριών, ἀκολουθοῦντος ἀμελῶς τοῦ ὀνηλάτου, παρακύψας διὰ τῆς θυρίδος ἀνέτρεψε τὰς ὄρνιθας καὶ τὰ ἐν τῷ ἐργαστηρίῳ συνέτριψε σκεύη. ὁ τοίνυν κύριος τοῦ ἐργαστηρίου ἐπὶ κρίσιν ἤγαγε τὸν ὀνηλάτην. ἐρωτώμενος δὲ ἐκεῖνος ὑπὸ τῶν ἀπαντώντων, τίνος κρίνοιτο, ἔλεγεν, ὄνου παρακύψεως.

○ 398 Ὄνου παρακύψεως: ὄνου παρακύψαντος, ὄρνιθες πτοηθεῖσαι ἱστὸν ἀνέρρηξαν. ὁ δὲ δεσπότης τοῦ ἱστοῦ τῷ τοῦ ὄνου δεσπότῃ ἐνεκάλεσεν· ὅθεν ἡ παροιμία.

○ 399 Ὄνου πόκαι: ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν· ὥσπερ αἱ τοιαῦται, πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν ποικίλλειν, εἰς κόπρον θυμιᾶν. Ἀρίσταρχος δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν ᾅδου τινὰ σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα, οἷον ἀποκείροντα. παρ’ ὅσον οὖν τὰ ἐν ᾅδου ἀνήνυτά εἰσι, τοῦτο ἐπλάσθη.

○ 400 Ὄνου σκιὰ καὶ Περὶ ὄνου σκιᾶς· Σοφοκλῆς Κηδαλίωνι· ὅ τι ἄν τι γίνηται, τὰ πάντ’ ὄνου σκιά. Ἀριστοφάνης Δαιδάλῳ· περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος νῦν ἐστι; περὶ ὄνου σκιᾶς. Ἀριστοτέλης δ’ ἐν Διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφὴν Ὄνου σκιάν. οἱ δὲ πρῶτον φθέγξασθαι τοῦτο Δημοσθένην, ἀπολογούμενον ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου, ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκροωμένους. παρακαλέσας γὰρ αὐτοὺς μικρὰ προσέχειν ἤρξατο διηγεῖσθαι, ὡς Μεγαράδε ἀπιὼν μισθώσαιτο ὄνον, καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι, οὐ παρεῖναι γὰρ οὔτε δένδρον οὔτ’ ἄλλο τοιοῦτον οὐδέν· τὸν δὲ ὀνηλάτην κωλύειν φάσκοντα, ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν· ὥστε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. ταῦτα δ’ εἰπών, ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα καὶ ἡδομένους καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτοῖς, εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν, ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν. δῆλον δὲ ὅτι λεγομένῳ τούτῳ ἐχρήσατο Δημοσθένης. διόπερ καὶ ἐν τοῖς Φιλιππικοῖς παρῳδῶν τὴν παροιμίαν φησὶ διαφέρεσθαι τοὺς Ἀθηναίους περὶ τῆς ἐν Δελφοῖς σκιᾶς.

○ 401 Ὄνου σκιά: ἐπὶ τῆς οὐθενείας. φασὶ γάρ, ὅτι νεανίσκος Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατο· μεσημβρίας δὲ λαβούσης, στήσας τὸν ὄνον ὑπέδυ τὴν σκιάν.

○ 402 Ὀνῶ· αἰτιατικῇ. τὸ ὠφελῶ.

○ 403 Ὁνωρᾶτος: ὄνομα κύριον.

○ 404 Ὁνωρία, ἀδελφὴ Βαλεντινιανοῦ· ἥτις καὶ αὐτὴ τῶν βασιλικῶν εἴχετο σκήπτρων. Εὐγενίῳ δέ τινι τὴν ἐπιμέλειαν τῶν αὑτῆς ἔχοντι πραγμάτων ἤλω ἐς λάθριον ἐρχομένη λέχος, καὶ ἐπὶ τῷ ἁμαρτήματι ἀνῃρέθη μὲν ἐκεῖνος, ἡ δὲ τῶν βασιλείων ἐξηλάθη.

○ 405 Ὁνώριος: ὄνομα κύριον.

○ 406 Ὄντα· τῶν ὄντων τὰ μὲν ἀγαθὰ εἶναι, τὰ δὲ κακά, τὰ δὲ οὐδέτερα. ἀγαθὰ μὲν αἱ ἀρεταί· κακὰ δὲ τὰ ἐναντία, ἀφροσύνη, ἀδικία, καὶ τὰ λοιπά· οὐδέτερα δὲ ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει, οἷον ζωή, ὑγεία, ἡδονή, κάλλος, ἰσχύς, πλοῦτος, δόξα, εὐγένεια· καὶ τὰ τούτοις ἐναντία, θάνατος, νόσος, πόνος, αἶσχος, ἀσθένεια, πενία, ἀδοξία, δυσγένεια καὶ τὰ παραπλήσια· μὴ γὰρ εἶναι ταῦτα ἀγαθά, ἀλλ’ ἀδιάφορα, κατ’ εἶδος προηγμένα. ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερμαίνειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν. οὐ μᾶλλον δὲ ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος καὶ ἡ ὑγεία· οὐκ ἄρα ἀγαθόν· ᾧ δὲ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγείᾳ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρα ἀγαθὸν πλοῦτος καὶ ὑγεία. ἀλλ’ οὐδὲ ἡ ἡδονὴ ἀγαθόν· εἶναι γὰρ καὶ αἰσχρὰς ἡδονάς· μηδὲν δὲ αἰσχρὸν εἶναι ἀγαθόν.

○ 407

Ὄντος: ὑπάρχοντος.

408 Ὄντως: ἀληθῶς.

409 Ὄνοι κανθήλιοι.

410 Ὄνυξ.

411 Ὀνυχίζεται: ἀκριβολογεῖται. οὕτως Ἀριστοφάνης. ἐν δὲ τῇ συνηθείᾳ τὸ ἐπὶ βλάβῃ τινι ἐξαπατηθῆναι. καί, ἀπονυχιῶ σου τὰ ’ν πρυτάνῃ σιτία· ἀντὶ τοῦ ἀφαιρήσομαι. ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων· ἀφαιρήσομαι γάρ, φησί, τὴν σίτησιν. ἀπονυχίσαι μᾶλλον λέγουσιν ἢ ὀνυχίσαι.

412 Ὀνύχιος: εἶδος λίθου. καὶ Ὀνυχίτης.

413 Ὄξεϊ: δοτική· ἡ εὐθεῖα τὸ ὄξος. καὶ Ὀξείδιον. ὅτι τὸ ὄξος καὶ ἀλίβας λέγεται ἀπὸ τοῦ μὴ λείβεσθαι. ὅτι νενεκρωμένος οἶνός ἐστιν. καὶ ἀλίβας, ὁ νεκρός.

414 Ὀξεῖα: ἡ λόγχη. καὶ παροιμία· Δι’ ὀξείας δραμεῖν, ἐπὶ τῶν διακινδυνευόντων.

415 Ὀξίνην· Ἀριστοφάνης· ἐμαχόμεσθ’ αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες.

416 Ὀξίς· Ἀριστοφάνης Πλούτῳ· ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα χαλκῆ γέγονεν. ἔστι δὲ ἀγγεῖον ὄξους δεκτικόν. ἢ λοπάδος εἶδος, εἰς ὀξὺ λῆγον.

417 Ὄξος ἑψητόν, τὸ ἀπὸ φοινίκων.

418 Ὀξώδης, ὀξώδους.

419 Ὄξωνος.

420 Ὀξὺ καὶ βαρὺ κατὰ μεταφορὰν ἐκλήθησαν ἐπὶ τῆς ἀκουστικῆς· ἐν ὄγκοις γάρ εἰσι τό τε ὀξὺ καὶ τὸ βαρύ. ὀξὺ γὰρ λέγεται ἐπὶ τῆς ἁφῆς τὸ ταχέως ἐνεργοῦν, οἷον τὸ μαχαίριον ὀξύ, ὅτι ταχέως κεντεῖ, ἀμβλὺ δὲ τὸ βραδέως ἐνεργοῦν καὶ οἷον οὐ κεντοῦν, ἀλλ’ ὠθοῦν, ὡς τὸ ὕπερον. ὅσα μὲν γὰρ ἐπιτήδεια εἰς τὸ κεντεῖν ποιῆσαι βουλόμεθα, ὀξυγώνια αὐτὰ ποιοῦμεν· ὅσα δὲ εἰς τὸ ὠθεῖν, ἀμβλυγώνια. οὕτως οὖν καὶ ἐπὶ τῶν ψόφων ὀξὺν μὲν λέγομεν τὸν ταχέως παραγινόμενον ἐπὶ τὴν αἴσθησιν καὶ ταχέως ἀποπαυόμενον, βαρὺν δὲ τὸν ἀνάλογον τῷ ἀμβλεῖ, τὸν βραδέως παραγινόμενον ἐπὶ τὴν αἴσθησιν καὶ ταχέως ἀποπαυόμενον. ὥσπερ αἱ τεταμέναι μᾶλλον νευραὶ οἷον ἡ νεάτη τῶν ἐπ’ ἔλαττον τεταμένων, οἷον τῆς ὑπάτης, ὀξυτέρους τοὺς φθόγγους ἀποδιδοῦσιν. ἡ γὰρ νεάτη τῶν ἄλλων μᾶλλον ἐν τῷ κρούεσθαι διὰ τὴν τάσιν ταχέως πλήττουσα τὸν ἀέρα ὀξύτατον ποιεῖ τὸν φθόγγον. καὶ ἐν ὀλίγῳ μὲν χρόνῳ ἐποίησε τοῦτο, ἐπὶ πολὺ δὲ ἐφύλαξε. τὸ δὲ ὀξὺ καὶ τὸ ἀμβλὺ ἐν διαφόροις γένεσίν εἰσι καὶ οὐχ ὑπ’ ἀλλήλοις, ἐν φωνῇ, ἐν χυμῷ, ἐν μαχαίρᾳ.

421 Ὀξύβαφον: τὸ δεχόμενον τὸ ὄξος. μεῖζον δὲ τὸ τρυβλίον τοῦ ὀξυβάφου. Ἀριστοφάνης Ὄρνισιν· ὀξύβαφον ἐντευθενὶ πρόσθου λαβὼν ἢ τρυβλίον. ὅτι φασὶ Διοκλέα τὸν Ἀθηναῖον εὑρεῖν τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν, ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν ξυλιφίῳ.

422 Ὀξυβελής: ὀξέως βάλλων, ἢ ὀξὺ βέλος ἔχων.

423 Ὀξυδέρκεια· Ὀξυδορκία δέ.

424 Ὀξυθύμια· ὅσα καθαίροντες τὰς οἰκίας Ἀθηναῖοι νύκτωρ ἔθος εἶχον ἐν ταῖς τριόδοις τιθέναι, ταῦτα ὀξυθύμια ἐλέγετο.

425 Ὀξυθύμια· Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου φησί· περὶ οὗ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθύμοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς ἡμετέροις ἱεροῖς. ἔνιοι μέν, ὧν ἐστι καὶ Ἀρίσταρχος, ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα, ἀφ’ ὧν ἀπάγχονταί τινες, ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι, ταῦτα δὲ ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυμος δέ φησιν ὀξυθύμια τὰ καθάρματα λέγεσθαι καὶ ἀπολύματα· ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 426 Ὀξυλοβῶ: τὸ ταχέως ἀκούω.

○ 427 Ὄξυλος: ὄνομα κύριον.

○ 428 Ὀξύνω: παροξύνω. καὶ Ὀξυνῶ, ὀξυνεῖς.

○ 429 Ὀξυωπέστερον: ὀξύτερον βλέπων.

○ 430 Ὀξυωπεῖν: ὀξέως βλέπειν. τὸ ῥῆμα Ὀξυωπῶ.

○ 431 Ὀξυπαθῶς: λίαν περιπαθῶς. οἱ δὲ Ῥωμαῖοι ὀξυπαθῶς εἶχον ἐπὶ τοῖς ἔναγχος ὑπὸ Χοσρόου παρεστρατηγημένοις αὐτοῖς.

○ 432 Ὀξυρεγμία. ἡ δὲ περιπάτους ἐποιεῖτο συχνοὺς ὀξυρεγμίαν προσποιουμένη. Ὀξυρεγμία δὲ λέγεται, ὅταν ἡ τροφὴ ἐποξίσῃ.

○ 433 Ὀξύρροπον: ὀξέως θέον.

○ 434 Ὀξύς: ταχύς.

○ 435 Ὀξυτενής: ἡ ὀξεῖα τρίβος.

○ 436 Ὀξύτης: πικρία, αὐστηρία. Ἀρριανός· κατὰ τὴν βασιλέως ὀξύτητα καὶ αὐτὸς ὠμῶς τε καὶ ξὺν ὕβρει ἐξηγεῖτο.

○ 437 Ὀξύτης· ὅτι τρία μέρη εὐμαθείας, ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι τήρησις ὧν ἔμαθέ τις, ὀξύτης δὲ ἡ ταχύτης τῆς διανοίας, ἀγχίνοια δὲ τὸ ἐξ ὧν ἔμαθε θηρεύειν καὶ ἃ μὴ ἔμαθεν.

○ 438 Ὁ ὤν: ὁ ἀεὶ ὢν θεὸς ἡμῶν.

○ 439 Ὄπα: φωνήν.

○ 440 Ὀπαδός: ἀκόλουθος. ὁ χρόνος δὲ ὁ ἄπρατός τε καὶ ἀδέκαστος καὶ ἡ τούτου φύλαξ καὶ ὀπαδὸς καὶ ἔφορος ἀλήθεια.

○ 441 Ὀπάζει: θεωρεῖ, ἢ παρέχει, ἢ διώκει.

○ 442 Ὀπασάμενος: ἑταίρους λαβών.

○ 443 Ὀπάσας: ἀντὶ τοῦ παρασχών. οὔτινι δ’ ἔμπης ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου.

○ 444 Ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν: ἀντὶ τοῦ ἐκροφήσων· ἢ ἐπικαλύψων με τῷ κύματι, αἰσχρῶς μέλλων με καταπιεῖν.

○ 445 Ὁ παῖς τὸν κρύσταλλον: ἐπὶ τῶν μήτε κατέχειν δυναμένων μήτε μεθεῖναι βουλομένων.

○ 446 Ὅπερ· τοῦτο τὸ ὅπερ τοῦ κυρίως ἐστὶ δηλωτικόν, καὶ ᾧ ἐὰν προστεθῇ, τὸ κυρίως ἐκεῖνο εἶναι σημαίνει· οἷον ὅπερ ἄνθρωπος, ὁ κυρίως ἄνθρωπος· καὶ ὅπερ ὂν καὶ ὅπερ ἀγαθὸν τὸ κυρίως, ἀγαθόν. καὶ τῶν κατηγορουμένων δὴ κατ’ ἄλλου, ᾧ ἂν τὸ ὅπερ προστεθῇ, κυρίως ἐκείνου κατηγορεῖσθαι σημαίνει. καὶ τὸ εἶναι τὸ ὑποκείμενον κυρίως ἐν τούτῳ τε καὶ τοῦτο.

○ 447 Ὅπη: ὅπου.

○ 448 Ὁπηνίκα: ὁπότε, ὅταν. Ξενοφῶν· οἱ δὲ ἐθύσαντο, ὅπως ὁπηνίκα δοκοίη τῆς ὥρας τὴν πορείαν ποιοῖντο.

○ 449 Ὀπὴ νυκτερίς: ἡ διάτρησις.

○ 450 Ὅπη παρείκοι: ὅπου ἐνεδέχετο καὶ ἐνεχώρει.

○ 451 Ὀπήτιον: τὸ σουπλίον, τὸ τὰς ὀπὰς ἐμποιοῦν.

○ 452 Ὀππιανός, Κίλιξ, ἀπὸ Κωρύκου πόλεως, γραμματικὸς καὶ ἐποποιός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου βασιλέως. Ἁλιευτικὰ ἐν βιβλίοις ε′, Κυνηγετικὰ ἐν βιβλίοις δ′, Ἰξευτικὰ βιβλία β′. ἀναγνωσθέντων δὲ τῶν ποιημάτων αὐτοῦ ἐπὶ τοῦ αὐτοκράτορος, ἐδωρήσατο αὐτῷ πρὸς ἕνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στίχον ἐν μέτρῳ στατῆρα χρυσοῦν, ἤγουν νόμισμα· ὡς λαβεῖν αὐτὸν ἐπὶ πᾶσι νομισμάτων μυριάδας δύο.

453 Ὄπιμα· ὁ δὲ Κράσσος τὸν βασιλέα Δάλδων ἀποκτείνας τὰ σκῦλα τῷ Διῒ ὄπιμα ἀνέθηκε. Ῥωμαϊκὴ ἡ λέξις.

454 Ὀπιπεύω: περισκοπῶ.

455 Ὄπις: ἡ ἐπιστροφή.

456 Ὀπισθοβάμων: ὁ πάγουρος. ὀπισθοβάμονα, τρίχηλον, ὀκτάπουν νηκτάν.

457 Ὀπισθόδομος: μέρος τι τῆς ἀκροπόλεως τῶν Ἀθηναίων, ἔνθα ἦν τὸ ταμιεῖον, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ. ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα. Δημοσθένης ἐν τῷ Περὶ συντάξεως· ἀνέῳξαν δήπου πρῴην τινὲς τὸν ὀπισθόδομον.

458 Ὀπισθόπους δίκη: ἡ μεθ' ἡμέραν ἀκολουθοῦσα τοῖς ἀδικήμασιν.

459 Ὀπίσω: ὄπισθεν.

460 Ὀπίστατον: τελευταιότατον.

461 Ὀπίτης: ὄνομα κύριον.

462 Ὅπλα φωτός: ὁ Ἀπόστολος, αἱ τῶν ἀρετῶν ἐργασίαι.

463 Ὁπλαί: αἱ πυξίδες, τῶν ἵππων οἱ ὄνυχες.

464 Ὁπλή: ὁ κυκλοειδὴς ποῦς τῶν κτηνῶν, οἷον βοῶν, προβάτων καὶ τῶν λοιπῶν τῶν ἐχόντων μικροὺς ὄνυχας ἐν τοῖς τῶν ποδῶν ὀπισθίοις. κυρίως δὲ ἐπὶ ἵππων. Ἀριστοφάνης δὲ ἐπὶ τῶν χοίρων ὁπλὴν εἴρηκε. καὶ Σιμωνίδης· ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν. καὶ Ἡσίοδος ἐπὶ βοῶν ὁπλάς. καὶ τὸ ἐναντίον ἐπὶ ἵππου· νύσσοντες χηλῇσιν.

465 Ὁπλιστής: ὁ ἐκ τῶν ὅπλων. πάντα τὸν ὁπλιστὰν κόσμον ὀλωλεκότα.

466 Ὁπλῖται, πελτασταί, ψιλοί, τῆς πεζικῆς εἰσι καὶ μαχίμου δυνάμεως, ἔχουσι δὲ διαφοράς· ὁπλῖται μὲν γὰρ λέγονται οἱ βαρυτάτῃ κεχρημένοι ὁπλίσει κατὰ τὸν Μακεδονικὸν τρόπον ἀσπίσι περιφερέσι καὶ δόρασι περιμηκεστέροις, Ψιλοὶ δὲ οἳ κουφοτάτῃ κέχρηνται, τόξῳ καὶ ἀκοντίῳ καὶ λίθοις ἐκ σφενδόνης ἢ ἐκ χειρός· οἱ δὲ πελτασταὶ μέσῃ πως κέχρηνται σκευῇ· ἥ τε γὰρ πέλτη μικρά τίς ἐστιν ἀσπιδίσκη καὶ κούφη· καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα. εἰσὶ δὲ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. καὶ Ἀριστοφάνης· τὸν θυμὸν κατάθου κύψας παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης. οἷον ὅπλα μὴ ἔχων, θυμῷ πολέμει μόνον.

467 Ὁπλιτεύειν: ὁπλίζεσθαι.

468 Ὁπλίτης: ὡς μὴ ἐρέσσων παραλαμβάνεται παρὰ Θουκυδίδῃ· ὁ δὲ ναύτης ὡς κοινωνὸς τῆς εἰρεσίας ἀναλαμβάνεται.

469 Ὁπλότερος: κατ' ἄμφω τίθεται παρ' Ὁμήρῳ, καὶ συγκριτικῶς καὶ ἀπολελυμένως. Χαρίτων δὲ ὁπλοτεράων, ἐπειδὴ δύο γενέσεις Χαρίτων ὑποτίθεται Ὅμηρος, πρεσβυτέραν καὶ νεωτέραν. διὸ συγκριτικῶς λέγει ὁπλοτεράων.

470 Ὀπός: τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος. πρόκριτός ἐστι, Φίλιννα, τεὴ ῥυτὶς ἢ ὀπὸς ἥβης πάσης.

471 Ὀπός· καὶ δι' αἰφνιδίου ὀπός, τουτέστιν ἐνθουσιαστικῆς.

472 Ὁπόσην πλείστην· στρατιὰν ἐκπέμπειν ὁπόσην πλείστην ἐκ τῶν ὑπαρχόντων ἂν οἷός τε ᾖ.

473 Ὁπόσον καὶ Ὁποσοῦν καὶ Ὁποσονοῦν, ἐπίρρημα. Ὁπωσοῦν δέ.

474

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁπότερος: ὁποῖος. Ἀριστοφάνης Νεφέλαις· ὁπότερα τὴν γνώμην ἔχοι περὶ τῆς ἐμπίδος. τουτέστι πῶς διαλογίζεται καὶ διανοεῖται περὶ τῶν ἐμπίδων. ἐμπίδες δὲ οὓς ἡμεῖς κώνωπας καλοῦμεν.

- 475 Ὁποτέρωθεν: ἀπὸ ποίου μέρους.
- 476 Ὅπου γε δή.
- 477 Ὅπου αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσι: τουτέστιν ἐν δυσβάτοις καὶ τραχέσι τόποις. φασὶ τὰς ἐλάφους παρατριβούσας τὰ κέρατα ἀποβάλλειν πρὸς θάμνους. ὅθεν ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιουμένων εἰρῆσθαι τὴν παροιμίαν.
- 478 Ὀπούντιος: οὗτος ἐσυκοφαντεῖτο ὡς πονηρὸς καὶ μονόφθαλμος. Ἀριστοφάνης· ἀλλ' ἔγωγ' Ὀπούντιος οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου. λέγει δέ, ὅτι οὐκ ἂν γενοίμην τυφλός. τοὺς οὖν τυφλοὺς οὕτω φασίν.
- 479 Ὄπωπα: ἐθεασάμην.
- 480 Ὀπωπή: ἡ πρόσοψις.
- 481 Ὀπώρα. καὶ Ὀπωρίμων· τοὺς βασιλικοὺς παραδείσους ἐξέτεμεν, οἳ δὴ πλέοι ὀπωρίμων δένδρων ἦσαν. σημείωσαι ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται· ζήτει ἐν τῷ βληχωνίᾳ καὶ τὴν θεραπείαν καὶ ἐν τῷ διὰ χρόνου.
- 482 Ὀπωρινός.
- 483 Ὀπωροφυλάκιον: τὸ τὰς ὀπώρας φυλάττον.
- 484 Ὀπωρώνης: ὁ τὰς ὀπώρας πωλῶν καὶ ἀγοράζων. μῆλόν τις διϊὼν ἥρπασε, τὸν δὲ ὀπωρώνην τοῦ ἀργυρίου ἕνεκα ἀντιλαμβανόμενον αὐτοῦ ἔχεσθαι.
- 485 Ὅπως καὶ Ὁπωσοῦν. Δαβίδ· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς. τὸ ὅπως οὐκ ἔστιν αἰτίας δηλωτικὸν, ἀλλ' ἐκβάσεως. καὶ Ὁπωστιοῦν. τὸ γὰρ Λουκούλλου στράτευμα στασιάζον ἀεί, τοῦτο παραλαβὼν ὁ Πομπήϊος οὐδ' ὁπωστιοῦν στασιάζοντας ἔσχεν.
- 486 Ὀπτανεῖον: τὸ μαγειρεῖον.
- 487 Ὀπτανία: ἡ ἀπόβλεψις.
- 488 Ὀπτῆρας: κατασκόπους. καί μοί τις αὐτὸν σὺν νεορράντῳ ξίφει ὀπτὴρ ἐσιδὼν πηδῶντα φράζει. Σοφοκλῆς.
- 489 Ὀπτῶντες: ἕψοντες. καὶ ὀπτώμενα. ὀπτῶντες οὖν ἐκ τοῦ ἀσχολεῖσθαι καὶ περιέπειν τὴν τῶν κρεῶν ὄπτησιν. ἑψῶντες δέ, ἐξ οὗ καὶ ἑφθόν. καὶ ἕψοντες δὲ ταὐτό, ψῶντες δὲ σπογγίζοντες. ἔστι καὶ ψάω, ψῶ, τὸ ψηκτρίζω. καὶ ἐξ αὐτοῦ γίνεται ψήχω καὶ ψῆκτρον.
- 490 Ὅποι: ὅπου. ἀπαγγέλλειν κελεύσας, ὅποι ποτὲ γῆς Χοσρόην τὸν Καβάδου ἀπολιπὼν εἴη.
- 491 Ὁποῖος: ποδαπός.
- 492 Ὅποι ποτέ: ὅπου ποτέ.
- 493 Ὅρα δὴ καὶ σκόπει: Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην. ἀντὶ τοῦ βλέπε τοῖς ὀφθαλμοῖς.
- 494 Ὁραθείς: θεαθείς.
- 495 Ὀράμνους· ἐν Ἐπιγράμμασι· ἐνθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὀράμνῳ φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν.
- 496 Ὀράριον. Ῥωμαϊκῶς καλεῖται.
- 497 Ὅρασις: γνῶσις. καὶ ὁ Εὐαγγελιστής· θεὸν οὐδεὶς ἑώρακε πώποτε. ἀντὶ τοῦ ἔγνω τρανῶς. ζήτει περὶ ὁράσεως ἐν τῷ αἰσθήσεις πέντε.
- 498 Ὁρᾶτε: ἀντὶ τοῦ ἐνθυμεῖσθε. Δημοσθένης ἐν τῷ Περὶ τῆς παραπρεσβείας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

499 Ὁράτιος: ὄνομα κύριον. ὁ δὲ Ὁράτιος λελωβημένος ἦν τὰ σκέλη ὑπατείας τε οὐκ ἔτυχεν οὔτε ἐν πολέμῳ οὔτε ἐν εἰρήνῃ, διὰ τὴν ἀχρηστίαν τῶν ποδῶν.

500 Ὁρατὸν καὶ ἀόρατον τό τε χρῶμα καὶ ὃ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν. τοιαῦτα δέ ἐστι πυρολαμπίδες, κεφαλαὶ ἰχθύων, λεπίδες, ὀφθαλμοὶ ἐχίνων, τὰ ὄστρακα τῶν θαλαττίων, ἅπερ ἐν φωτὶ μὲν οὐχ ὁρᾶται, ἐν σκότῳ δέ. οὐ γὰρ δοκεῖ χρῶμα εἶναι τὸ ἐν τούτοις φαινόμενον πυρῶδές τι ἐν τῷ σκότῳ· ἴδιον γὰρ χρώματος τὸ ἐν φωτὶ ὁρᾶσθαι· τὸ δὲ τούτων πυρῶδες οὐχ ὁρᾶται ἐν φωτί. ὅτι ὁρᾶν ἔστιν ἐκ τοῦ τὸν ἀέρα ἔχειν τὸ διαφανές, διαπορθμευτικὴν τὴν τῶν χρωμάτων δύναμιν, αὐτὸς ἀχρωμάτιστος ὤν. ὅτι τῶν ὁρατῶν δʹ εἰσι διαφοραί. τὰ μὲν γὰρ αὐτῶν ἐν ἡμέρᾳ μόνως ὁρᾶται, τὰ δὲ ἐν νυκτὶ μόνως, τὰ δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ δὲ ὅλως οὐ συνυπάρχειν πέφυκε τῷ σκότῳ. τῶν γὰρ ὁρατῶν τὰ μέν ἐστι χρώματα, τὰ δὲ ἀνώνυμα. τὰ μὲν οὖν χρώματα μόνως ἐν ἡμέρᾳ θεωρεῖται, οὐδαμῶς δὲ ἐν νυκτί. τῶν δὲ λαμπρῶν λεγομένων τὰ μὲν ἐν νυκτὶ μόνως ὁρᾶται, τὰ δὲ ἐν ἡμέρᾳ μόνως, τὰ δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. τὰ μὲν γὰρ αὐτῶν ἐστιν ὑπέρλαμπρα, τὰ δὲ ἀμυδρά, τὰ δὲ μέσως. τὰ μὲν οὖν ἀμυδρὸν ἔχοντα τὸ λαμπρὸν μόνως ἐν νυκτὶ ὁρᾶται, οἷον πυγολαμπίδες, λεπίδες καὶ τὰ ὅμοια· τούτων γὰρ ἐν ἡμέρᾳ τὸ λαμπρὸν οὐ φαίνεται, νικώμενον ὑπὸ τοῦ μείζονος· ἔτι δὲ καὶ ἀστέρων οἱ πλείους. τὰ μέσα ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, οἷον σελήνη καί τινα τῶν ἀστέρων, ὡς ὁ ἑωσφόρος, ὅταν πρὸς τῷ ὁρίζοντι γένηται ὁ ἥλιος καὶ αὐτὸς ὁ ἑωσφόρος περιγειότερος ᾖ. ἔτι δὲ καὶ πῦρ· τοῦτο γὰρ ὅσον δύναται ἀέρα τελειοῖ καὶ εἰς ἐνέργειαν ἄγει τὸ διαφανὲς αὐτοῦ, ὡς καὶ τὰ ἐν αὐτῷ χρώματα δείκνυσθαι, ἐν δὲ τῷ λοιπῷ ἑαυτὸ μὲν δείκνυσιν, ἐκείνου δὲ τὸ διαφανὲς οὐκ ἄγει εἰς ἐνέργειαν. ὅθεν αὐτοῦ τὸ μὲν ὁρῶμεν πόρρωθεν ἐν σκότῳ ὄντες, οὐδὲν δὲ τῶν περὶ ἡμᾶς χρωμάτων. ἐν δὲ τῇ ἡμέρᾳ τὸ πῦρ πάλιν φαίνεται ὡς μὲν λαμπρόν, οὐδὲν δὲ δρῶν εἰς τὸν ἀέρα διὰ τὸ ἤδη ὑπὸ τοῦ μείζονος λαμπροῦ παθεῖν· καὶ τὸ τῆς σελήνης λαμπρὸν διὰ τὸ μὴ ἄγαν ἀμυδρὸν εἶναι φαίνεται ἐν ἡμέρᾳ. τὰ δὲ ὑπέρλαμπρα μόνως ἐν ἡμέρᾳ, οἷον ὁ ἥλιος, ἐπειδὴ καὶ αὐτὸς τῆς ἡμέρας τοῦ φωτὸς αἴτιος.

501 Ὀρβηλοῖο· ἐν Ἐπιγράμμασι· τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον.

502 Ὀργᾶν: ἐπιθυμεῖν. καὶ Ὀργῶντες παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἐπιθυμοῦντες. Ἡρόδοτος ἰδὼν Θουκυδίδην ὑπὸ ἐνθουσιασμοῦ τινος δακρύοντα, ἔφη, μακαρίζω σε, Ὄλορε, τῆς εὐτεκνίας· ὁ γὰρ σὸς υἱὸς ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα.

503 Ὀργάνειας: ταράξειας, εἰς ὀργὴν ἐμβάλοις. καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ’ ὀργάνειας.

504 Ὀργάς: ἡ εὔγειος καὶ σύμφυτος καὶ λιπαρὰ καὶ ἀκμαία γῆ. ἐνεκάλεσε δὲ ὁ Περικλῆς τοῖς Μεγαρεῦσιν, ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα ἐγεώργησαν. ἢ τὴν προσήκουσαν ὀργάδα κατανέμειν ἢ τὴν τιμὴν μόνοις διακρατεῖν. περὶ Ῥώμου καὶ Ῥήμου. καὶ αὖθις· τμήξας εὐαρότου ῥάχιν ὀργάδος.

505 Ὀργάς: τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα οὕτως καλεῖται. ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη, τοιαύτη τις οὖσα.

506 Ὀργάσας: μαλάξας.

507 Ὄργασον: κυρίως τὸ πίσσωσον. ὀργὴ γὰρ παρ’ Ἴωσιν ἡ πίσσα. σημαίνει δὲ καὶ τὸ σπαργᾶν καὶ ὀργιάζεσθαι. καὶ τὸ μάλαξον. Ἀριστοφάνης· πηλὸν ἀποδὺς ὄργασον. ἀντὶ τοῦ φύρασον, μάλαξον.

508 Ὀργαῖος.

509 Ὀργεῶν: ἀντὶ τοῦ ὀργεώνων. Λυσίας.

510 Ὀργεῶνες: οἱ θύται.

511

Ὀργεῶνες: οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες. ὀργιάζειν δέ ἐστι τὰ τῶν θεῶν ὄργια τελεῖν, τουτέστι μυστήρια καὶ νόμιμα. Νόμων δ'· μὴ κεκτῆσθαι ἔσω ἐν ἰδίαις οἰκίαις ἱερά. τὸν δὲ φανέντα κεκτημένον ἕτερα καὶ ὀργιάζοντα πλὴν τὰ δημόσια. Σέλευκος δ’ ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος Ἀξόνων ὀργεῶνάς φησι καλεῖσθαι τοὺς συλλόγους ἔχοντας περί τινας ἥρωας ἢ θεούς. ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτω καλοῦσιν. ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λύδῃ· γενεᾷ Καβάρνους θῆκεν ἀβακλέας ὀργεῶνας. καὶ οἷον ὁ Αἰσχύλος ἐν Μυσοῖς, τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων· ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών, εὐχαῖς δὲ σώσοις δεσπότας παιωνίαις. περὶ δὲ τῶν ὀργεώνων γέγραφε καὶ Φιλόχορος· τοὺς δὲ φράτορας ἐπάναγκες δέχεσθαι καὶ τοὺς ὀργεῶνας καὶ τοὺς ὁμογάλακτας, οὓς γεννήτας καλοῦμεν.

○ 512 Ὀργεῶνας· Ἰσαίου λόγος ἐστὶν ὡς ὀργεῶνας. ὀργεῶνες δέ εἰσιν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ τὰ νομιζόμενα ὁρᾶν· ἢ παρὰ τὸ ὀρέγειν τὼ χεῖρε· ἢ παρὰ τὰ ὄργια· ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων. μήποτε δὲ ὕστερον νενομίσθαι τὸ ἐπὶ τιμῇ τινας τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὀνομάζεσθαι, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν. τῶν ἐξ Ἐλευσῖνος ὀργεώνων εἷς· φησὶν Αἰλιανὸς ἐν τῷ Περὶ προνοίας.

○ 513 Ὀργή· ὅτι οὐ τὸ παρακολουθοῦν τινι γένος. τῇ γοῦν ὀργῇ παρακολουθεῖ λύπη, οὐ μὴν ὡς γένος· οὐ γὰρ ἡ ὀργὴ λύπη, οὐδὲ διὰ τοῦτό ἐστιν ἡ λύπη ἡ μετὰ τῆς ὀργῆς οὖσα, διότι ἡ ὀργή ἐστιν, ἀλλ’ ἐπὶ τῇ λύπῃ ἡ ὀργή· προτέρα γὰρ ἡ λύπη τῆς ὀργῆς· λυπηθεὶς γάρ τις ὡς ἠδικημένος ὀργίζεται. οὐ τοιοῦτον δὲ τὸ γένος ὡς προϋπάρχον χρόνῳ τοῦ εἴδους. ὀργὴ δέ ἐστι λύπη μεθ’ ὑπολήψεως τοῦ ὠλιγωρῆσθαι· ἡ τοίνυν διὰ τὴν τοιαύτην ὑπόληψιν γενομένη λύπη ὀργή ἐστιν.

○ 514 Ὀργῇ παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ διανοίᾳ, τρόπῳ, σκοπῷ.

○ 515 Ὄργια: μυστήρια, ἱερά. εὐθὺς ἅπασι πρόχειρον λέγειν, ὅτι ἄνθρωπος οὗτος τῇ Χίων θεῷ καὶ τοῖς ἰθυφάλλοις ὠργίακεν.

○ 516 Ὀργιάζων: θύων, ἐπιτελῶν.

○ 517 Ὀργάσας: μαλάξας.

○ 518 Ὀργμεύοντες· ἦσαν δὲ ὄρη παντοίων θηρίων ἀνάπλεα, ἃ κατὰ κύκλους ὀργμεύοντες οἱ στρατιῶται πολλὰ τῶν θηρίων ᾕρουν.

○ 519 Ὀργῶ: ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχω. Ἀριστοφάνης· ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγος εἷς μοι, ὃν διαμάττειν οὐ κωλύει. ἀπὸ τῶν ἀλφίτων. ὁμοῦ γὰρ ἐφύρων, εἶτα εἰς μοίρας διένεμον. προπεφύραται οὖν ἀντὶ τοῦ προγεγύμνασται, προκατεσκεύασται, ηὐτρέπισται. ἡ μεταφορὰ ἀπὸ τῶν τὰ ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων.

○ 520 Ὀργῶσα: ἐπιθυμοῦσα, ἢ μανιῶσα.

○ 521 Ὀργυιά: ἐπὶ τοῦ μέτρου. καὶ Τετρόργυιος. τοῦτο κατ’ εὐψαμάθου κείμενον ἠϊόνος δισσάκι τετρόργυιον.

○ 522 Ὀργυιωμένοις: ἐκτεταμένοις, ἐπιθυμοῦσιν.

○ 523 Ὀργυιαί: τὰ μετὰ τῶν ἰδίων χειρῶν μέτρα. καὶ Ὀργυιαῖος, ὁ μέγας.

○ 524 Ὀρέγεται: ἐπιθυμεῖ.

○ 525 Ὀρέγει: παρέχει.

○ 526 Ὀρεγνύς: ἐκτείνας.

○ 527 Ὀρεγόμενος: ἐπιθυμῶν.

○ 528 Ὀρεκτεῖν: ἐπιθυμεῖν. τὸν αὐτὸν καὶ ὀρεκτιᾶν.

○ 529 Ὀρέξει· δοτικῇ. δώσει, ἐκτενεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

530 Ὄρεξις: ἐπιθυμία.

531 Ὀρεοκόμος: ὁ τοῦ ὄρους ἐπιμελούμενος. Ὀρεωκόμος δὲ ὁ ἐπιμελητὴς τῶν ἡμιόνων. ὀρεὺς γὰρ ὁ ἡμίονος ἢ ἡμιόνων. καὶ Ὀρικῷ ζεύγει, ἀντὶ τοῦ ἡμιόνων.

532 Ὀρεοπολῶ: περὶ τὰ ὄρη ἀναστρέφομαι. Ὀρεωπολῶ δὲ τὸ περὶ τοὺς ὄνους ἀναστρέφομαι. ἐκ τοῦ ὀρεύς, ὀρέως, ὃ σημαίνει ἡμίονον.

533 Ὀρεωπώλης: ὁ τοὺς ἡμιόνους πωλῶν.

534 Ὀρεπύγιον: ὁ λεγόμενος ἀφεδρών.

535 Ὀρεσκῷος: ὁ ἐν τοῖς ὄρεσι διατρίβων.

536 Ὀρέστειον: ὄνομα τόπου.

537 Ὀρέστης: ὁ ἐν ὄρεσι διαιτώμενος. Ἀριστοφάνης· εἶτα κατεάξειέ τις αὐτὸν τῆς κεφαλῆς Ὀρέστης μαινόμενος.

538 Ὀρέστης· οὗτος προσποιούμενος μανίαν τοὺς παριόντας ἀπέδυεν· ἦν γὰρ λωποδύτης. ἢ κατὰ προσωνυμίαν, ἀντὶ τοῦ μαινόμενος ὡς ὁ Ὀρέστης. καὶ παροιμία· Ὀρέστῃ χλαῖναν ὑφαίνειν. εἰ γὰρ ἐντύχοι τις ἥρῳ τῶν βροτῶν νύκτωρ Ὀρέστῃ, γυμνὸς ἦν πληγεὶς ὑπ’ αὐτοῦ πάντα τἀπιδέξια. οἱ ἥρωες δυσόργητοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσιν ἐγίνοντο· διὸ καὶ οἱ τὰ ἡρῷα παριόντες ἐσίγων. ἐπιδέξια δέ, τουτέστι τὰ δεξιὰ τῆς ὄψεως· ἐπλήττοντο γὰρ οἱ ἐντυγχάνοντες τῷ Ὀρέστῃ· οὐχὶ δὲ τῷ Ἀγαμέμνονος, ἀλλὰ λωποδύτῃ τινί. ἢ ἐπιδέξια, ὀφθαλμοὺς καὶ κεφαλήν. ἢ ὅτι οἱ ἐντυγχάνοντες νυκτὸς ἥρωσι διέστρεφον τὰς ὄψεις.

539 Ὀρεχθεῖν: κινεῖν, συνταράττεσθαι. Ἀριστοφάνης· κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν; ὅμως δὲ τὸν θυμὸν δακὼν ἔφην.

540 Ὀρεία: ἡ ἐν ὄρεσιν ἀναστρεφομένη. τάσδε θεῇ χαίτας περικλεῖδι θῆκεν ὀρείᾳ. τῇ ἐν ὄρεσι. καὶ Ὄρεια μῆλα, τὰ ἐν ὄρεσι γινόμενα.

541 Ὀρεία: τραχεῖα, σύνδενδρος. ἡ δὲ ὁδὸς ὀρεία τε ἦν καὶ στενή. καὶ Ὄρεια οὐδετέρως, τὰ τοῦ ὄρους. ὃς τάδ’ ὄρεια ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους. καὶ Φώτιος ὁ πατριάρχης· ὄρειά σου τὰ δῶρα, κάστανα καὶ ἀμανῖται.

542 Ὀρείαυλος: ὁ ἐν τῷ ὄρει αὐλῶν.

543 Ὀρειβάσιος, Σαρδιανός, γνώριμος Ἰουλιανοῦ τοῦ Ῥωμαίων βασιλέως καὶ κοιαίστωρ ὑπ’ αὐτοῦ κατασταθεὶς Κωνσταντίνου πόλεως. ἔγραψε Πρὸς τοὺς ἀποροῦντας τῶν ἰατρῶν βιβλία δʹ, Πρὸς Ἰουλιανὸν τὸν βασιλέα βιβλία οβʹ, Ἐπιτομὴν αὐτῶν ἐν βιβλίοις θʹ, Πρὸς Εὐστάθιον τὸν υἱὸν καὶ Περὶ βασιλείας καὶ Περὶ παθῶν.

544 Ὀρειβάτης: ὁ ἐν ὄρεσι βαίνων. ἡ τραγῳδία φησίν· ἀλλ’ αὖ θανοῦμαι τῷδ’ ἐν αὐλίῳ μόνος· οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ’ ὀρειβάτην τόξοις ἐναίρων τοῖσιδ’, ἀλλ’ αὐτὸς τάλας θανὼν παρέξω δαῖθ’, ὑφ’ ὧν ἐφερβόμην. καὶ Ὀρειβατεῖν ὁμοίως.

545 Ὀρείαις: ταῖς ὀρειναῖς. Ἀριστοφάνης· μεθ’ ἧς ἐγὼ νάπαισί τ’ ὀρείαις ἱζόμενος.

546 Ὀρεικὸν ζεῦγος: τὸ τῶν ἡμιόνων.

547 Ὀρεινή: ἀπὸ τοῦ ὄρους. καὶ Ὀρεινομῶ, τὸ ἐν ὄρεσι διαιτῶμαι. καὶ Ὀρεινὸς ὁμοίως.

548 Ὀρεινόμων: τῶν ἐν ὄρεσι διαιτωμένων. ἐν Ἐπιγράμμασι· τρισσοὶ θῆκαν ἄρμενα τέχνας, Δᾶμις μὲν θηρῶν ἄρκυν ὀρειονόμων.

549 Ὄρειον πρέμνον καὶ Ὄρειος ὁμίχλη.

550 Ὀρείων: τῶν ἐν ὄρεσι διαιτωμένων. Φιλοκτήτης φησίν· ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι.

551

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀρειπολῶ.

552 Ὀρεῖς: τοὺς ἡμιόνους. ἡ εὐθεῖα Ὀρεύς.

553 Ὀρειφοίτης: ὁ ἐν ὄρει φοιτῶν.

554 Ὀρείχαλκος: ὁ διαυγὴς χαλκός. ὁ δόκιμος. φιτρὸν ἐλάτης κοιλάναντες ἐναρμόζουσιν εἰς αὐτὸν κώδωνας ὀρειχάλκους. ἐν Ἐπιγράμμασι· ταῦτ' ὀρειχάλκου λάλα κύμβαλα καὶ μυρόεντα βόστρυχον θήκατο. καὶ Ὀρείχαλκος στήλη.

555 Ὄρηαι: διεγερθείης.

556 Ὄρη ἔρημα: τὰ ἀοίκητα. τουτέστι βόρεια καὶ νότια τμήματα. ταῦτα γάρ, τὰ μὲν διὰ ψυχρότητα, τὰ δὲ διὰ θερμότητα ἀοίκητα μεμένηκε παντελῶς.

557 Ὅρια ἐθνῶν καὶ ὅρια πατέρων.

558 Ὀριβρεμέτης: ὁ βροντῶν ἀπὸ ὄρους.

559 Ὀρίγανος: ἡ βοτάνη. θηλυκῶς παρὰ Ἀριστοφάνει. Ὀρειγενὴς δὲ ὁ ἐν τῷ ὄρει γεννηθείς.

560 Ὀριγνηθῆναι: ἀντὶ τοῦ ἐπιθυμῆσαι. καὶ Ὀριγνώμεθα, ὀρεγόμεθα. ὁ δὲ ἐδήλωσεν ὡς ὀριγνώμενος Χριστιανὸς γενέσθαι.

561 Ὀρίδρομος: ὁ ἐν ὄρει τρέχων.

562 Ὀρικὸν ζεῦγος: τὸ τῶν ἡμιόνων.

563 Ὀρίνεται: ταράσσεται, ἐπιθυμεῖ. ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω ὅσς' ἐπ' Ἀχιλλῆος Πύρρος ἔτευξε τάφῳ.

564 Ὅριον: ὁ ὁρισμός. Ὄρειον δὲ τὸ ἀπὸ τοῦ ὄρους.

565 Ὁρισμός· ὅτι τῶν ὁρισμῶν λαμβανομένων τῶν μὲν ἐκ τῆς ὕλης, τῶν δὲ ἐκ τοῦ εἴδους, τῶν δὲ ἐκ τοῦ συναμφοτέρου, ὁ μέν ἐστιν ἀρχὴ ἀποδείξεως ὁ ἐκ τοῦ εἴδους, ὁ δὲ συμπέρασμα ὁ ἐκ τῆς ὕλης, ὁ δὲ ἀπόδειξις τῇ θέσει διαφέρουσα ὁ ἐκ τοῦ συναμφοτέρου. οἷον βουλόμενός τις ὁρίσασθαι τὸν θυμὸν κέχρηται συλλογισμῷ τοιούτῳ· ὁ θυμούμενος ὀρέγεται ἀντιλυπῆσαι τὸν ἄρξαντα τῆς λύπης· τοῦ ὀρεγομένου ἀντιλυπῆσαι ζεῖ τὸ περὶ καρδίαν αἷμα· εἶτα τὸ συμπέρασμα· τοῦ θυμουμένου ἄρα ζεῖ τὸ περὶ καρδίαν αἷμα. τούτου οὖν τοῦ συλλογισμοῦ καὶ τῆς ἀποδείξεως ὁ μὲν ἐκ τῆς ὕλης ὁρισμὸς τοῦ θυμοῦ συμπέρασμά ἐστιν, ὁ δὲ ἐκ τοῦ εἴδους ἀρχή· ἔστι γὰρ ἡ πρώτη πρότασις ἡ λέγουσα, ὁ θυμούμενος ὀρέγεται ἀντιλυπήσεως, ἡ δευτέρα δὲ τοῦ ὀρεγομένου ἀντιλυπήσεως ζεῖ τὸ περὶ καρδίαν αἷμα, ἐν μέντοι τῷ ὁρισμῷ τῷ ἐκ τοῦ συναμφοτέρου ἀνάπαλιν ἀρχόμεθα· ζέσις γὰρ φαμὲν τοῦ περικαρδίου αἵματος, εἶτα δι' ὄρεξιν ἀντιλυπήσεως. ὁ δὲ τέλειος ὁρισμὸς οὐ μόνον τὸ ὅτι, ἀλλὰ καὶ τὴν αἰτίαν διδάσκει.

566 Ὄρθαι: διεγερθῆναι.

567 Ὀρθαῖς ἀκοαῖς: προθύμοις. ὁ δὲ ἤκουσε τοῦ θεοῦ ὀρθαῖς ἀκοαῖς.

568 Ὀρθή· Πολύβιος· διόπερ ὡς οὐδέποτε μᾶλλον ὀρθὴ καὶ περίφοβος ἡ τῶν Ῥωμαίων πόλις ἐγεγόνει, καραδοκοῦσα τὸ συμβησόμενον. καὶ αὖθις· τὰ ἔθνη τῆς Ἰβηρίας ὀρθῶς αὐτοῖς ἀντικαθιστάμενα. ἀντὶ τοῦ ἀναίδην, ἀποτόμως.

569 Ὀρθὴν δ' ἐντυγχάνει: Ὑπερίδης ἀντὶ τοῦ εὐθύς.

570 Ὀρθῆς δὲ τῆς πόλεως οὔσης ἐπὶ τούτοις: ἀντὶ τοῦ κεκινημένης καὶ πεφοβημένης. Ὑπερίδης φησίν· ὀρθῆς δ' ἡμῖν τῆς πατρίδος οὔσης. Αἰσχίνης δὲ ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀκεραίου. καὶ Πολύβιος· τούτων δὲ προσαγγελθέντων τοῖς Καρχηδονίοις, ὀρθὴ καὶ περίφοβος ἦν ἡ πόλις διὰ τὴν ἀδηλότητα τῶν προσδοκωμένων.

571 Ὀρθῆς φρενός: τῆς ἀληθοῦς. ἐξ ὀμμάτων δ' ὀρθῶν δὲ κἀξ ὀρθῆς φρενός.

572

Ὀρθία· ὀρθία λέγεται φάλαγξ, ὅταν ἐπὶ κέρας πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. καθόλου μὲν παράμηκες λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ πλέον τοῦ βάθους, ὄρθιον δὲ ὃ ἂν τὸ βάθος τοῦ μήκους.

573 Ὀρθιασμάτων: ἀνατάσεως ῥημάτων· ἢ τῶν μετὰ βοῆς κόμπων· ἢ τῶν μελῶν· παρόσον ὄρθιος νόμος κιθαρῳδικός. καὶ Ὄρθιος νόμος· Τιμόθεος ὁ αὐλητὴς ηὔλει ποτὲ τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον καλούμενον καὶ ἐς τοσόνδε ἐξέπληττεν Ἀλέξανδρον τοῖς μέλεσιν, ὡς μεταξὺ καὶ ἀκούσαντα ἀΐξαι ἐπὶ τὰ ὅπλα. τὸν δὲ φάναι, ὅτι τοιαῦτα χρὴ εἶναι τὰ βασιλικὰ αὐλήματα. ὁ δὲ Τιμόθεος ἀνελήλυθε πρὸς αὐτόν, σπουδῇ μετάπεμπτος γενόμενος.

574 Ὄρθιος νόμος: ὁ κιθαρῳδικὸς τῆς ἁρμονίας. ἦσαν δὲ ἑπτά.

575 Ὄρθιον νόμον καὶ τροχαῖον: τοὺς δύο νόμους ἀπὸ τῶν ῥυθμῶν ὠνόμασε Τέρπανδρος. ἀνατεταμένοι δ’ ἦσαν καὶ εὔτονοι. Ὅμηρος· ἔνθα στᾶσ’ ἤϋσε θεὰ μέγα τε δεινόν τε ὄρθι’ Ἀχαιοῖσιν.

576 Ὀρθομίλιον: τὸ παρ’ ἡμῖν.

577 Ὀρθοπλὴξ ἵππος: ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων. Ἀριστοφάνης Ἀναγύρῳ· ὡς δὲ ὀρθοπλήξ· πέφυκε γὰρ δυσγάργαλις.

578 Ὀρθός: λέγεται καὶ ὄρθιος. Μάρκος· ὀρθὸν δὲ εἶναι καὶ μὴ ὀρθούμενον.

579 Ὀρθοστάδια· οἱ στατοὶ χιτῶνες ὀρθοστάδιοι, οἱ δὲ συρόμενοι συρτοί.

580 Ὀρθοτίτθιος: ἡ παρθένος ἡ ὀρθοὺς τοὺς τιτθοὺς ἔχουσα. ὅθεν καὶ ἐπιτίτθιον, τὸ ὑπομάζιον.

581 Ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων· Ἀριστοφάνης· ὁτιὴ βούλομαι τούτων ἀπαλλαχθέντα τῶν ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων, ζῆν βίον γενναῖον, ὥσπερ Μόρυχος, αἰτίαν ἔχων ταῦτα δρᾶν.

582 Ὀρθῷ νόμῳ: τῷ τῆς ἀγάπης. ἐμῶν φίλων μόνοι ἐμμένοντες ὀρθῶ νόμῳ.

583 Ὀρθωσία: ἡ ὄρθωσις.

584 Ὀρθρία: ἡ τοῦ ὄρθρου κατάστασις.

585 Ὄρθριος νόμος: οὕτω καλούμενος νόμος κιθαρῳδικός. Ἀριστοφάνης· πολλάκις ἀναστήσασά μ’ εἰς ἐκκλησίαν ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον. οἶμαι, ὄρθιον θέλει, ἢ ὄρθριον, διὰ τὸν ὄρθρον.

586 Ὀρθριοφοίτης: ὁ παραγενόμενος ὄρθρου.

587 Ὀρθρογόη: χελιδών. λέγεται καὶ ὀρθρόλαλος. κερκίδας ὀρθρολάλοισι χελιδόσιν εἰκελοφώνους.

588 Ὀρθόκραιρος ναῦς: ἡ ὀρθὰς κεραίας ἔχουσα.

589 Ὀρθοί: ἐκπεπληγμένοι. οἱ δὲ Ῥωμαῖοι μαθόντες ὅτι Ἀννίβας πολιορκεῖ τὰς δυνάμεις, ὀρθοὶ ταῖς διανοίαις καὶ περίφοβοι πάντες ἦσαν, ὡς καὶ πρὸς τὰ ὅλα διατεινούσης τῆς ἐνεστηκυίας κρίσεως.

590 Ὁρκάνας: εἱρκτάς.

591 Ὁρκάνη· Λυκοῦργος κατὰ Λυκόφρονος β′. μήποτε ὁ φραγμός, τουτέστι τὸ περίφραγμα καὶ ἡ αἱμασιά, οὕτως καλεῖται. παρὰ τὸ ἐρύκειν, ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος· αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος.

592 Ὁρκαπάτην: χλευαστὴν δι’ ὅρκων.

593 Ὅρκιος Ζεύς. καὶ Ὅρκιον σκῆπτρον, καθ’ οὗ ὤμνυον οἱ βασιλεῖς· ἢ ῥάβδος. Ὁρκῶ σε καὶ Ὁρκίζω σε.

594

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅρκος· τύπος· οὕτω παισὶ χρήσαιο κληρονόμοις. οὕτω τὰ καὶ τὰ θεός σοι δοίη.

595 Ὁρκωμοσία καὶ Ὁρκωμότης καὶ Ὁρκωμοτῶ.

596 Ὁρμαθός: σύνδεσμος, στίχος. τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφὼς ἔκρυψε τὰ τοῦ Τιβερίου μειονεκτήματα. ὅσα γὰρ Αὐγούστῳ ἐν πολλῷ χρόνῳ περιεποιήθη, οὗτος ἐν μιᾷ ἡμέρᾳ ἀπεκτήσατο.

597 Ὁρμαίνοντα: ἐνθυμούμενον.

598 Ὄρμενα: τῶν λαχάνων πάντα τὰ ἐκκεκαυληκότα. οἱ δὲ τῆς κράμβης τὸ ἐντὸς κύημα· οἱ δὲ τὸν ἄγριον ἀσπάραγον.

599 Ὄρμενος: ὄνομα κύριον.

600 Ὁρμεῖν: ἐπὶ ξηρᾶς. Ὁρμίζω δὲ ἐπὶ θαλάσσης, καὶ νηός, καὶ ἐπὶ ἀναπαύσεως.

601 Ὁρμή· ὁρμὴ ἡ πρώτη τοῖς ζῴοις σύνεστιν ἐπὶ τὸ τηρεῖν ἑαυτά, οἰκειούσης αὐτοῖς τῆς φύσεως ἀπ’ ἀρχῆς. πρῶτον γὰρ οἰκεῖον παντὶ ζῴῳ ἡ σύστασις καὶ ἡ ταύτης σύνδεσις, καὶ οἰκείως ἔχειν πρὸς ἑαυτά. διὸ τὰ βλάπτοντα διωθεῖται, τὰ δ’ οἰκεῖα προσίεται. καὶ οὐ πρὸς ἡδονὴν γίνεται ἡ πρώτη ὁρμὴ τοῖς ζῴοις· ἐπιγένημα γὰρ ἂν ἦν· εἰ ἄρα ἔστιν ἡδονὴν εἶναι, ὅταν αὐτὴν καθ’ αὑτὴν ἡ φύσις ἐπιζητήσασα τὰ ἐναρμόζοντα οὐ τῇ ἐν συστάσει ἀπολάβῃ· ὃν τρόπον ἀντιλαμβάνεται τὰ ζῷα καὶ θάλλει τὰ φυτά. καὶ οὐ διήλλαξεν ἡ φύσις ἐπὶ φυτῶν καὶ ζῴων, ὅτε χωρὶς ὁρμῆς καὶ αἰσθήσεως κἀκεῖνα οἰκονομεῖ, καὶ ἐφ’ ἡμῶν τινα φυτοειδῶς γίνονται. ἐκ περιττοῦ δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ἐπιγενομένης, ᾗ συγχρώμενα πορεύεται, τούτοις μὲν τὸ κατὰ φύσιν τὸ κατὰ τὴν ὁρμὴν διοικεῖσθαι. τοῦ δὲ λόγου τοῖς λογικοῖς κατὰ τελειοτέραν προστασίαν δεδομένου, τὸ κατὰ λόγον ζῆν ὀρθῶς γίνεσθαι τοῖς κατὰ φύσιν· τέχνη γὰρ οὗτος ἐπιγίνεται τῆς ὁρμῆς. διὸ καὶ Ζήνων τέλος εἶπεν εἶναι τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ’ ἀρετὴν ζῆν· ἄγει γὰρ καὶ πρὸς ταύτην ἡμᾶς ἡ φύσις.

602 Ὁρμητήριον· Πολύβιος· τὸ δὲ φρούριον οἱ Παννόνιοι καταρχὰς τοῦ πολέμου λαβόντες ὁρμητήριον ἐπεποίηντο καὶ εἰς ὑποδοχὴν τῶν λαφύρων ἐξηρήκεσαν. ἔστι δὲ ὁρμητήριον, ὅθεν τὰ πρὸς τὸν πόλεμον ἐξαρτύοντες ἐξίασι μαχεσόμενοι.

603 Ὁρμίζω: ἐπὶ ἀναπαύσεως, καὶ νηός.

604 Ὁρμίσκος καὶ Ὅρμοι: περιτραχήλιος κόσμος, ἐνώτια, χαλαστήρια.

605 Ὅρμον: λιμένα. Αἰλιανός· ἀναπαυομένων καὶ ὁρμιζομένων τὴν τελευταίαν ὅρμισιν τὸ θεῖον οὐκ ἀμελεῖ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν.

606 Ὁρμώμενος: προθυμούμενος. λέγεται δὲ καὶ ὁ γενεαλογούμενος. ἐκ λόγων ὁρμώμενος καὶ παιδείας ὁ λογικὸς καὶ πεπαιδευμένος.

607 Ὀρνειάς: πόλις.

608 Ὄρνιθα· ζήτει ἐν τῷ αἶνος.

609 Ὀρνιθευομένου: μαντευομένου δι’ ὄρνιθος.

610 Ὀρνιθευτής: ὁ ὀρνιθοθήρας.

611 Ὀρνιθεία: ἡ οἰωνομαντεία.

612 Ὀρνιθίας· ὀρνιθίας χειμὼν παρὰ Ἀριστοφάνει ὁ σφοδρὸς χειμών, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. καὶ ἄνεμος ὀρνιθίας ὁ αὐτός, ἤτοι ψυχρός, ὁ ἐπὶ τὴν γῆν τὰ ὄρνεα στρωννὺς ὑπὸ τῆς ψυχρᾶς πνοῆς. ἢ διὰ τὸ χειμῶνος τὰ ὄρνεα ταῦτα φαίνεσθαι.

613 Ὀρνιθοθήρας: ὁ τοὺς ὄρνις θηρεύων.

614 Ὀρνιθοκομεῖον: τὸ τὰς ὄρνιθας ἔχον οἴκημα.

615

Ὄρνις: ἡ κληδών, τὸ μάντευμα. Ἀριστοφάνης Πλούτῳ· δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ. τουτέστι τὸ σύμβολον· κοινῶς γὰρ πᾶν σύμβολον ἐφεκτικὸν ἢ προτρεπτικὸν ὄρνιν ἐκάλουν. ὄρνις, ἐπιφώνησις, πταρμός, καὶ τὰ ὅμοια. καὶ αὖθις· οὐδεὶς ἄρ' οἶδε τὸν θησαυρὸν τὸν ἐμόν, πλὴν εἴ τις ὄρνις. παροιμιακὸν τοῦτο, οὐδεὶς οἶδε τί ὡμίλησα, πλὴν εἴ τις ὄρνις. ἐπὶ τῶν ἀγνώστων. καὶ αὖθις· οὐδείς με θεωρεῖ, πλὴν ὁ παριστάμενος ὄρνις. καὶ αὖθις· ὄρνιν νομίζετε πάνθ' ὅσα μαντείας διακρίνει· φήμη γὰρ ὑμῖν ὄρνις ἐστι, πταρμόν τ' ὄρνιθα καλεῖτε, ξύμβολον φωνήν, θεράποντα, καὶ ὅσα περὶ μαντείας, ὄνον ὄρνιν. καὶ τὸ πληθυντικὸν τοὺς ὄρνις.

○ 616 Ὄρνυται: ὁρμᾷ.

○ 617 Ὀροάνδης, Ὀροάνδου: ὄνομα κύριον.

○ 618 Ὄροβος: εἶδος κριθῆς.

○ 619 Ὀρόδαμνος: ἡ παραφυάς.

○ 620 Ὀρόν: τὸν ὀρόν, τουτέστι τὸ σπέρμα τοῦ κανθάρου.

○ 621 Ὄρον: σκεῦός τι γεωργικόν, ὡς Ἰσαῖος δηλοῖ. μήποτε μέντοι τὸ ὄρον παρά τε Αἰσχύλῳ καὶ παρὰ Μενάνδρῳ ξύλον τι σημαίνει, ὃ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.

○ 622 Ὀρόντας: ὄνομα κύριον. καὶ Ὀρόντης, ποταμός.

○ 623 Ὀρονδάτης: ὄνομα κύριον.

○ 624 Ὀρόντης· ὥσπερ οὖν Ὀρόντης φασὶ τὸν Πέρσην εἰπεῖν, ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μύρια σημαίνει καὶ ἕνα ἀριθμόν· οὕτω. καὶ ζήτει ἐν τῷ Ἀρβαζάκιος.

○ 625 Ὅρος: οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλουν, ὅτι ὑπόκεινται δανειστῇ. οὕτως Δημοσθένης καὶ Μένανδρος.

○ 626 Ὄρος· παρὰ τῇ θείᾳ γραφῇ ὄρος ἅγιον πάλαι μὲν τὸ Σιών, νῦν δὲ τὸ τῆς θεογνωσίας ὕψος. καὶ ὁ Ἀπόστολος δέ. λύσις ὀνείρου· ὄρει προσέρπειν πραγμάτων δηλοῖ βίαν.

○ 627 Ὅρος· ὅρος ἐστὶ λόγος κατ' ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος· ἢ ἡ ἀπόδοσις. ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα, ἢ ὅρος ἁπλούστερον τὴν τοῦ ὅρου δύναμιν προσενηνεγμένος. διαφέρει δὲ ὅρος ἀποδείξεως. καὶ ζήτει ἐν τῷ ἀπόδειξις.

○ 628 Ὀροφὴ καὶ Ὄροφος: ἡ στέγη. καὶ θηλυκῶς καὶ ἀρσενικῶς. οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά. Ἀριστοφάνης. καὶ ἐν Σφηξίν· ὀροφὴν θέασαι.

○ 629 Ὀρούω: τὸ ὁρμῶ.

○ 630 Ὀροφοιτῶντα: εἰς ὄρη περιερχόμενον.

○ 631 Ὀρρωδεῖ: φοβεῖται. κυρίως μὲν ὀρρωδεῖν ἐπὶ τοῦ τῶν ἀλόγων δέους. πεποίηται δὲ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος· ἢ παρὰ τὸ ἐγκρύπτειν τῷ μέρει τούτῳ τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν· ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. ἔστι τὸ ὀρρωδεῖν ἀπὸ τοῦ ὄρρου, ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς. ἔστι γὰρ τρομερὸν τὸ μέρος.

○ 632 Ὀρρωδία: φόβος. ἐκ τοῦ ὄρρου, ὅ ἐστι μέρος τῆς πυγῆς, ὁ καλούμενος ταῦρος. ἅμα μὲν ὀρρωδία ἦν, μὴ ἄρα φθάσαιεν ὀπίσω ἀναφυγόντες.

○ 633 Ὀρωρεχότες: ὀρέγοντες.

○ 634 Ὁρῶ σε.

○ 635 Ὁρῷτο: βλέποιτο.

○ 636 Ὄρπηξ: ἀρσενικόν. κλάδος. παρὰ τὸ ὀρούω· ἢ ὄρφηκές τινες οἱ εἰς ὀροφὴν ἐπιτήδειοι.

○ 637 Ὀρσοθύρη: θύρα ἐν ὕψει τοῦ τοίχου.

638 Ὀρταλίχων: εἶδος ὀρνέων οἱ ὀρτάλιχοι. ἢ ἀλεκτρυόνων. Ὀρταλίχων, ὀρνέων νεογνῶν. ὄρνιθες δροσερῶν μητέρες ὀρταλίχων.

639 Ὀρτιάγων, Γαλάτης· ὃς ἐπεβάλετο τῶν ἐν τῇ Ἀσίᾳ βασιλεύων τὴν ἁπάντων τῶν Γαλατῶν δυναστείαν εἰς αὑτὸν μεταστῆσαι καὶ πολλὰ πρὸς τοῦτο τὸ μέρος ἐφόδια προεβάλλετο καὶ φύσει καὶ τριβῇ. καὶ γὰρ εὐεργετικὸς ἦν καὶ πολεμικὸς καὶ δυναμικὸς πρὸς πολεμικὰς χρείας.

640 Ὀρτιάγοντος· Ὀρτιάγοντος ἐγεγόνει Παιδοπολίτης. προβαίνων δὲ κατὰ τὴν ἡλικίαν δικαστὴς ἀπεδείχθη.

641 Ὀρτόβριγα: πόλις. εἶδε πόλιν Ὀρτόβριγα δοκοῦσαν κατὰ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν ἀνθρώπων ἐμβριθεστάτην εἶναι.

642 Ὀρτυγοκόπος: παιδιά τις, ἐν ᾗ ὄρτυγας ἱστᾶσιν ἐν γύρῳ, οὓς τύπτουσιν εἰς τὴν κεφαλήν. καὶ ὁ μὲν ἐν τῷ γύρῳ καταβαλὼν τὸν ὄρτυγα λαμβάνει ἑξῆς, οὓς ἂν δύνηται· ὁ δ’ ἀποτυχὼν παρέχει θατέρῳ τοὺς ὄρτυγας τύπτειν· καὶ τοῦτ’ ἀνὰ μέρος ποιοῦσι. λέγει οὖν ἐν Ἀλκιβιάδῃ· οὐκ, ἀλλὰ πρὸς Μειδίαν δεῖ σε ἀποβλέποντα τὸν ὀρτυγοκόπον καὶ τοιούτους ἄλλους. ἐν Φαίδωνι· ὅτι οὐ πρὸς τοὺς τυχόντας ὁ ἀγών ἐστι, πρὸς δὲ τοὺς ἀρίστους· διόπερ οὐ ῥαθυμητέον. μηδὲ ὀρτυγοκοπεῖν μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι.

643 Ὀρτύγωνος.

644 Ὅροι: τέλη, ὁρισμοί. ὅρους δὲ ἐτίθετο καὶ τεκμήρια ὁ Ἰσίδωρος τῶν θείων ἀφωρισμένα στοίχων πρὸς τὴν τῶν ἀνθρωπείων διάκρισιν· τῆς μὲν φιλοπονίας τὸ ἀνύσιμον ὑπὲρ πάντα λόγον, τῆς δὲ εὐσυνέτου γνώμης τὸ ἐξιστάμενον τῆς ἐμφανοῦς καὶ συνήθους τοῖς πολλοῖς ἀκολουθίας, τοῦ δὲ ἔρωτος αὐτοῦ τὸ παρηρεθισμένον εἰς τὴν τοῦ νοητοῦ κάλλους ἀπόλαυσιν, ἄλλῃ δὲ οὐδαμοῦ ἀποπλανώμενον.

645 Ὀροίτης: ὄνομα κύριον.

646 Ὀροιτύπος: ὑλοτόμος.

647 Ὄρυγες: ζῷά τινα.

648 Ὄρυγμα: ἰδίως οὕτως ἐκαλεῖτο, ἐφ’ οὗ οἱ κακοῦργοι ἐκολάζοντο.

649 Ὀρυμαγδός: θόρυβος, τάραχος, κτύπος. παρὰ τὸ θόρυβος θορυβάζω, θορυβάσσω, τεθορύβαγα, θορυβαγός· καὶ ἀφαιρέσει τοῦ θ καὶ τροπῇ τοῦ β εἰς μ καὶ πλεονασμῷ τοῦ δ ὀρυμαγδός.

650 Ὀρύσσω· αἰτιατικῇ.

651 Ὀρφανία.

652 Ὀρφανιστῶν: ὀρφανισταί εἰσιν οἱ τοὺς ὀρφανοὺς τρέφοντες. ἢ ὀρφανισταί, ἀρχὴ Ἀθήνησι τὰ τῶν ὀρφανῶν κρίνουσα. ἢ ὀρφανιστῶν, τῶν τῆς ὀρφανίας ἐπιτρόπων. ὑπ’ ὀρφανιστῶν μὴ φίλων, ὅσον κακόν.

653 Ὀρφανός. Ἰώσηπος· καὶ αὐτοὶ πατρὸς δ’ ἦσαν ὀρφανοί. καὶ αὖθις· οἱ δὲ χωροῦσιν οἶκοι ὀρφανὰς τὰς πρεσβείας καταλείψαντες τῆς εἰρήνης.

654 Ὀρφεύς, Λειβήθρων τῶν ἐν Θρᾴκῃ (πόλις δ’ ἐστὶν ὑπὸ τῇ Πιερίᾳ), υἱὸς Οἰάγρου καὶ Καλλιόπης. ὁ δὲ Οἴαγρος πέμπτος ἦν ἀπὸ Ἄτλαντος, κατὰ Ἀλκυόνην μίαν τῶν θυγατέρων αὐτοῦ. γέγονε δὲ πρὸ ια′ γενεῶν τῶν Τρωϊκῶν, καί φασι μαθητὴν γενέσθαι αὐτὸν Λίνου· βιῶναι δὲ γενεὰς θ′, οἱ δὲ ια′ φασιν. ἔγραψε Τριασμούς· λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα· Κλήσεις κοσμικαί· Νεοτευκτικά· Ἱεροὺς λόγους ἐν ῥαψῳδίαις κδ′· λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου· Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον· Τελετάς· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου· ἐν τούτοις δ’ ἐστὶ περὶ λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται· Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ

Συρακουσίου λέγεται ἢ Περσίνου τοῦ Μιλησίου· Κρατῆρας· ταῦτα Ζωπύρου φασί· Θρονισμοὺς Μητρῴους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι· Εἰς ᾅδου κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου· Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροτίνου· Ὀνομαστικὸν ἔπη ͵ασʹ, Θεογονίαν ἔπη ͵ασʹ, Ἀστρονομίαν, Ἀμοκοπία, Θυηπολικόν, Ὠιοθυτικὰ ἢ Ὠιοσκοπικά, ἐπικῶς· Καταζωστικόν, Ὕμνους· Κορυβαντικόν· καὶ Φυσικά, ἃ Βροτίνου φασίν.

655 Ὀρφεύς, Κικωναῖος ἢ Ἀρκάς, ἐκ Βισαλτίας τῆς Θρᾳκικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου, βʹ γενεαῖς πρεσβύτερος τῶν Τρωϊκῶν. ἔγραψε δὲ Μυθοποιΐαν, ἐπιγράμματα, ὕμνους.

656 Ὀρφεύς, Ὀδρύσης, ἐποποιός. Διονύσιος δὲ τοῦτον οὐδὲ γεγονέναι λέγει· ὅμως ἀναφέρονται εἰς αὐτόν τινα ποιήματα.

657 Ὀρφεύς, Κροτωνιάτης, ἐποποιός· ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ϛʹ βιβλίῳ τῶν Γραμματικῶν. Δεκαετηρίδα, Ἀργοναυτικά· καὶ ἄλλα τινά.

658 Ὀρφεύς, Καμαριναῖος, ἐποποιός· οὗ φασιν εἶναι τὴν Εἰς ᾅδου κατάβασιν.

659 Ὀρφεύς, βασιλεὺς Θρᾳκῶν· ἐφ’ οὗ αἱ Ἀμαζόνες ἐδασμολόγησαν Φρύγας.

660 Ὀρφεύς· ὅτι ἐπὶ τῶν παρὰ Ἰουδαίοις Κριτῶν, καταλυθείσης τῆς βασιλείας Ἀθηναίων, Ὀρφεὺς ἐγνωρίζετο, σοφὸς ἄριστος γενόμενος καὶ πολλὰ μυστήρια διδαχθείς· φέρονται γὰρ αὐτοῦ καὶ περὶ θεογνωσίας λόγοι, ἐξ ὧν εἰσι ταῦτα. εἶπε γάρ, ὅτι ἐξαρχῆς ἀνεδείχθη ὁ αἰθὴρ ὑπὸ τοῦ θεοῦ δημιουργηθείς· καὶ ἐντεῦθεν κἀκεῖθεν τοῦ αἰθέρος ἦν χάος, καὶ νὺξ φοβερὰ πάντα κατεῖχε καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν αἰθέρα· σημαίνων τὴν νύκτα προτερεύειν· εἰρηκὼς ἀκατάληπτόν τινα καὶ πάντων ὑπέρτατον εἶναι καὶ προγενέστερον καὶ δημιουργὸν ἁπάντων τόν τε ὑπέρτατον αἰθέρα· καὶ τὴν γῆν εἶπεν ἀόρατον. ἔφησε δέ, ὅτι τὸ φῶς ῥῆξαν τὸν αἰθέρα ἐφώτισε τὴν γῆν καὶ πᾶσαν τὴν κτίσιν, ἐκεῖνο εἰπὼν τὸ φῶς, τὸ ὑπέρτατον πάντων, τὸ ἀπρόσιτον, τὸ πάντα περιέχον· ὅπερ ὠνόμασε Βουλήν, Φῶς, Ζωήν. ταῦτα τὰ γʹ ὀνόματα μίαν δύναμιν ἀπεφήνατο καὶ ἓν κράτος τοῦ δημιουργοῦ πάντων θεοῦ, τοῦ πάντα ἐκ τῶν μὴ ὄντων παραγαγόντος εἰς τὸ εἶναι, ὁρατῶν τε καὶ ἀοράτων. περὶ δὲ τοῦ γένους τῶν ἀνθρώπων εἶπεν, ὅτι καὶ αὐτὸ ὑπὸ τοῦ δημιουργοῦ πάντων καὶ θεοῦ ἐπλάσθη καὶ ψυχὴν ἔλαβε λογικήν, ἀκολουθήσας τοῖς Μωσέως· καὶ ταλαίπωρον εἰρηκὼς τὸ γένος τῶν ἀνθρώπων καὶ πολλοῖς ὑποκείμενον πάθεσι, ψυχικοῖς τε καὶ σωματικοῖς, δεκτικόν τε ἀγαθῶν καὶ πονηρῶν ἔργων καὶ τὰ πρὸς τὸ ζῆν ἀθλίως διακείμενον.

661 Ὀρφεία λύρα: τοῦ Ὀρφέως.

662 Ὀρφναίην: σκοτεινήν.

663 Ὀρφνή: ὀξυτόνως. σκοτία· νὺξ μέλαινα.

664 Ὀρφώς: ὁ ἰχθύς. οἱ δὲ διὰ τοῦ ο μικροῦ.

665 Ὀρχάδες: νῆσοι περὶ τὸν Ὠκεανόν.

666 Ὄρχαμος: ἡγεμών.

667 Ὀρχάτοις καὶ Ὄρχοις: στίχοις ἀμπέλων, ἢ ἑτέρων φυτῶν. παρὰ τὸ ἔρχεσθαι δι’ αὐτῶν τὰς τάξεις τῶν φυτῶν.

668 Ὄρχεις: πληθυντικόν. καὶ Ὀρχείδιον, ὑποκοριστικόν.

669 Ὀρχηδόν: ὡς ἡβηδόν. Ἡρόδοτος.

670 Ὄρχησις· δύο ὀρχήσεις οἶδεν ὁ Ὅμηρος, τὴν τῶν κυβιστητήρων καὶ τὴν διὰ τῆς σφαίρας. τὴν δὲ σφαιριστικὴν ἔπαιξεν Ἀριστόνικος ὁ Καρύστιος, Ἀλεξάνδρου τοῦ βασιλέως σφαιριστής.

671

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὄρχησις παντόμιμος· ταύτην ὁ Αὔγουστος Καῖσαρ ἐφεῦρε, Πυλάδου καὶ Βαχυλίδου πρώτων αὐτὴν μετελθόντων. καὶ Ἀναγαλλὶς ἡ Κερκυραία, γραμματική, τὴν τῆς σφαίρας εὕρεσιν Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθησιν.

○ 672 Ὀρχήστρα: ἡ παλαίστρα. καὶ Ὀρχήστριον. καὶ Ὀρχηστής.

○ 673 Ὀρχιπέδων· σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν.

○ 674 Ὀρχομενός: ναὸς τῶν εἰδώλων.

○ 675 Ὅσα: τὸ μόριον τοῦτο ἀόριστον ὂν ἄπειρον πλῆθος δηλοῖ ἀριθμοῦ. ὅσα δὴ δέδηγμαι τὴν καρδίαν.

○ 676 Ὄσσα: θεία φήμη. ψιλοῦται. ἐπὶ πάσης φωνῆς.

○ 677 Ὅσα ἰδεῖν· ἰνδάλματα εἰκασμένα κυσὶν ἔκ τινος θείας ὁρμῆς τοῦτον ἐπιπηδήσαντα, οἰκτρῶς ὅσα ἰδεῖν διέξυεν. ἀντὶ τοῦ ὅλον.

○ 678 Ὅσα μὲν τῷ δοκεῖν κακοπαθοῦσαι, τὸ δ' ἀληθὲς κακῶν ἀπαλλαγεῖσαι: ἀντὶ τοῦ τῷ μὲν δοκεῖν κακῶς παθοῦσαι, καὶ τὰ ἑξῆς.

○ 679 Ὅσα μὴ ἀπῆν τό γε ἀτρεμεῖν: ὅσον καὶ ἐφ' ὅσον χρόνον οὐκ ἀπῆν αὐτοῦ τὸ ἀτρεμεῖν.

○ 680 Ὅσα μῦς ἐν πίσσῃ: εἴρηται ἡ παροιμία ἐπὶ τῶν μετὰ πολλοῦ κόπου νενικηκότων. οὐκ ἀπὸ τοῦ ζῴου δέ, ἀλλὰ Μῦς ἐγένετο ἀθλητὴς Ταραντῖνος. οὗτος ἐν Πίσσῃ ἀγωνιζόμενος καὶ πρὸς πολλοὺς ἔχων ἀγωνιστάς, πολλὰς λαβὼν πληγὰς μόλις ἐνίκησεν. οὗτος ὁ Μῦς πύκτης ὢν ἐπὶ ταῖς ρ′ ὀλυμπιάσι μίαν ἐνίκησεν.

○ 681 Ὄσσε: ὄμματα, ὀφθαλμοί.

○ 682 Ὁσημέραι: διαπαντός, πάντοτε, καθημέραν. ἀντὶ τοῦ ὅσαι ἡμέραι. τινὲς δὲ καὶ ὁσημέραι, Ἀττικώτερον δὲ τὸ ὁσημέραι.

○ 683 Ὁσία: ἡ ἐπὶ θανάτῳ τιμή, ἢ ἡμέρα.

○ 684 Ὁσίαν: κηδείαν, τὴν ἐπὶ νεκροῖς τιμήν. ἔθαψαν δὲ αὐτούς, μὴ ἀτιμάσαντες νεκροῖς ὁσίαν. καὶ αὖθις· καὶ τὸν νεκρὸν ἔθαψαν, καὶ πάντα ἐπέπρακτο σὺν τῇ ὁσίᾳ. Ὅσια δὲ χρήματα, τὰ ἱερά.

○ 685 Ὁσίη· οὐ πολλὴ δ' ἡ χάρις, ἀλλ' ὁσίη. ἀντὶ τοῦ καθαρά, ἐκ ψυχῆς ἀνατεθεῖσα. ἐν Ἐπιγράμμασι.

○ 686 Ὁ Σικελικὸς τὴν θάλασσαν: Σικελικός, φασίν, ἔμπορος σῦκα ἄγων ἐναυάγησεν· εἶτα ἐπὶ πέτρας καθήμενος, ὁρῶν τὴν θάλασσαν γαληνιῶσαν ἔφη· οἶδ' ὃ θέλεις· σῦκα θέλεις.

○ 687 Ὅσιον· Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι· καὶ τὰ χρήματα, τά τε ἱερὰ καὶ τὰ ὅσια. καὶ Ἰσοκράτης· τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις. τὰ δημόσια ὅσια λέγοντες. καὶ Δημοσθένης δὲ ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει τοῦτο. Δίδυμος δέ φησι διχῶς λέγεσθαι τὸ ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν.

○ 688 Ὅσιον χωρίον: τὸ βέβηλον καὶ μὴ ἱερόν, εἰς ὃ ἔξεστιν εἰσιέναι. Ἀριστοφάνης Λυσιστράτῃ· ὦ πότνι' Εἰλείθυια, ἐπίσχες τοῦ τόκου, ἕως ἂν εἰς ὅσιον ἀπέλθω χωρίον. καὶ ὅσια χρήματα, τὰ μὴ ἱερά. λέγεται δὲ καὶ τὸ Διονύσιον. καὶ Δαμάσκιος· [Ὄσιρις, Διόνυσος.] οὐχ ὅσιόν ἐστι τὰ μεγάλα σοφὸν γενέσθαι τὸν τὰ μικρὰ μὴ δυνάμενον. ἐπεὶ δ' ὅσιον ἦν ἐπιζητῆσαι τὸν ἀφανῆ γεγονότα ἀδελφὸν τὴν ἐπὶ Καρίας ἐτράπετο.

○ 689 Ὁσιότης: ἡ πρὸς θεὸν καθοσίωσις. καὶ ἐκεῖνος ὅσιος ὁ ἑαυτὸν διὰ πίστεως καὶ ἔργων ἀγαθῶν καθοσιώσας καὶ τῷ θεῷ ἀφιερώσας. ὅθεν περὶ τοῦ τὸν θεὸν καταλιμπάνοντος καὶ ἀρνουμένου τὰς πρὸς θεὸν συνθήκας ἔλεγεν ὁ Μωσῆς· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ὅσιά μοι γένοιτο ἐν τῷ ἀποστῆναι ἀπὸ κυρίου. καθάπερ οὖν ὁ τοῦ θεοῦ ἀποστάτης καὶ κακοῦργος ἀνόσιος λέγεται, οὕτως ὁ τῷ θεῷ διὰ πίστεως καὶ ἀγαθουργίας οἰκειωθεὶς ὅσιος καὶ δίκαιος εἰκότως ὀνομάζεται.

690 Ὁσιωθῆναι ἡμέρας λέγουσιν ἐπὶ θανάτῳ τινός· οἷον μὴ ἱεράς, ἀλλὰ ὁσίας νομισθῆναι.

691 Ὁσίων· ὅτι ἔφη τις τῶν ὁσίων· ἄλλους μὲν γὰρ οὐ πάντες ἀπαιτούμεθα σῶσαι, ἑαυτοὺς δὲ πάντες πάντως. καὶ ἄλλος· σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν.

692 Ὅσιοι: οἱ εὐσεβείᾳ συντεθραμμένοι, κἂν μὴ ἱερεῖς ὦσιν.

693 Ὄσιρις: τοῦτον οἱ μὲν λέγουσιν εἶναι τὸν Διόνυσον, οἱ δὲ ἄλλον· ὃν ὑπὸ Τυφῶνος δαίμονος ἐσπαράχθαι, καὶ μέγα πένθος γενέσθαι τοῖς Αἰγυπτίοις, καὶ τοῦ σπαραγμοῦ μνήμην ποιεῖσθαι ἐπὶ πάντα τὸν χρόνον.

694 Ὀσιράζουσαν· ὁ τόπος οὗτος ἐν τῷ ἀντιγράφῳ ἔσφαλτο, καταστρέφει δὲ ὅμως εἰς τὸ μαγεύουσαν· γράφει γὰρ ἐν τῷ τέλει· ἤδη δὲ καὶ ἐς τὰς ὑπερορίους ἀπῳκίσε τὴν ἀπόρρητον θέμιν, ἔς τε Ἀλεξανδρείαν τὴν Ὀσιράζουσαν καὶ τῆς ἔω πολλαχῇ τὴν μαγεύουσαν.

695 Ὁ Σκύθης τὸν ἵππον: ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων καὶ διαπτυόντων.

696 Ὀσμή: ἡ εὐωδία. ὀσμὴ ἀνωνόμαστος ἐς βάθος κύκλου χωρεῖ, καλὸν θέαμα· θυμιαμάτων δ’ αὖραι διαπνέουσι πλεκτάνην καπνοῦ. ζήτει ἐν τῷ ἀόρατον. λύσις ὀνείρου· δυσωδίαν νόμιζε τὴν ἀηδίαν.

697 Ὀσσόμενος: ἀνειδωλοποιούμενος, προσδοκῶν. ἢ τοῖς ὀφθαλμοῖς ὑποβλέπων.

698 Ὅσον βασιλεύτερός εἰμι· Ὅμηρος· τὸ ὅσον ἐνταῦθα οὐκ ἔστι πλήθους ἐμφαντικόν, ἀλλ’ ἀντὶ τοῦ καθ’ ὅσον εἰμὶ βασιλικώτερος.

699 Ὅσον βιώσιμον: ὅσον ζῆσαι.

700 Ὅσον οὐκ ἀποτετέλεστο: ἀντὶ τοῦ σχεδόν.

701 Ὅσον οὐκ ἤδη πονηρῶς τε καὶ ἀθλίως ἀπολουμένων. καὶ αὖθις· ἐκεῖνον γὰρ ὅσον οὐ βασιλεύειν τῆς Ἀσίας.

702 Ὅσον οὔπω: ταχύ, μετ’ ὀλίγον· ἢ ἀντὶ τοῦ ἤδη. ὁ δὲ ἅμα ἐνθυμούμενος τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων λύει τὴν πολιορκίαν. καὶ αὖθις· πεσεῖσθαι γὰρ ὅσον οὔπω τὴν οἰκίαν. καὶ αὖθις· ὅσον οὔπω προσεδόκα παρεσομένους τοὺς βαρβάρους.

703 Ὅσῳ καὶ ὁπόσῳ.

704 Ὅσῳ πλέον ἥμισυ παντός: τουτέστι τὸ ὀλίγον μετὰ δικαιοσύνης τοῦ πολλοῦ μετὰ ἀδικίας πλείονα ἔχει τὴν ὄνησιν. Ἡσίοδός φησιν.

705 Ὁσπήτιον: τὸ οἴκημα.

706 Ὄσπριον: εἶδος σπέρματος. λέγεται δὲ καὶ χέδροψ τὸ ὄσπριον παρὰ Θουκυδίδῃ.

707 Ὀσροήνη: ὄνομα πόλεως, ἢ τόπου. καὶ Ὀσρόης, ὄνομα κύριον.

708 Ὀστᾶ: τροπικῶς οἱ λογισμοί· ἐπειδὴ τὰ ὀστᾶ στεγανωτέραν ἔχουσι φύσιν, καὶ αὐτὰ φέρει τὸ ζῷον. λέγεται καὶ Ὀστέον, ὀστοῦν.

709 Ὀστᾶ Γιγάντων· ζήτει ἐν τῷ Μηνᾶς. ζήτει ὀστᾶ Ἱερεμίου τοῦ προφήτου ἐν τῷ Ἀργόλαι.

710 Ὀστᾶναι· οὗτοι πρῴην παρὰ Πέρσαις Μάγοι ἐλέγοντο, κατὰ διαδοχὴν Ὀστᾶναι. ζήτει ἐν τῷ ἀστρονομία.

711 Ὀστιάριος: εἶδος ἀξιώματος. οἶμαι δὲ διὰ τοῦ ω μεγάλου ὠστιάριος· παρὰ τὸ ὠθεῖν.

712 Ὀστία: παρὰ Ῥωμαίοις ἡ θύρα. καὶ ἐξ αὐτοῦ ὀστιάριος διὰ τοῦ ο μικροῦ.

713 Ὀστίνοις: τοῖς αὐλοῖς· ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. Ἀριστοφάνης· τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.

714 Ὄστλιγγες: αἱ λαμπηδόνες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 715 Ὀστολογεῖν: ἐξετάζειν, ἐξερευνᾶν.

○ 716 Ὀστρακισμός: οἱ κακονούστατοι τῷ δήμῳ ἐξωστρακίζοντο καὶ κατεδικάζοντο· ὀστράκοις γὰρ ἐγράφετο τὸ ὄνομα τοῦ φευξομένου.

○ 717 Ὀστρακισμὸς φυγῆς διαφέρει, ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται, τῶν δὲ ὀστρακισμῷ ἀποστάντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος· καὶ τοῖς μὲν χρόνος ἐνδείκνυται καὶ τόπος, οἱ δὲ φεύγοντες οὐδέτερον τούτων ἔχουσιν. ὅτι Κίμων τῇ ἀδελφῇ Ἑλπινίκῃ συγκοιμηθεὶς καὶ διαβληθεὶς πρὸς τοὺς πολίτας ἐξωστρακίσθη.

○ 718 Ὀστρακόδερμοι ἰχθύες: οἷον ὄστρεα, πορφύραι, κήρυκες, στρόμβοι, ἐχῖνοι· ἃ οὔτε θήλεα οὔτε ἄρρενά εἰσιν.

○ 719 Ὀστράκου περιστροφή: παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. Εὐνάπιος· ὥσπερ ὀστράκου μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε Ῥωμαίοις.

○ 720 Ὄστρεια. Τραιανῷ ἐν Πάρθοις ὄντι καὶ τῆς θαλάσσης ἀπέχοντι ἡμερῶν πολλῶν ὁδὸν Ἀπίκιος ὁ ὀψοφάγος ὄστρεα νεαρὰ διεπέμψατο, ὑπὸ σοφίας τεθησαυρισμένα.

○ 721 Ὀσφραντικόν· ὀσφραντικὸν αἰσθητήριόν ἐστιν ἡ κατὰ τὰ ἐμπρόσθια τοῦ ἐγκεφάλου μαστοειδὴς ἀπόφυσις μετὰ τὰ ὁμοιοειδῆ ὀστέα ὡς ἐπὶ τὸ ἔνδον. γίνεται δὲ ἡ ἀντίληψις τῶν ὀσμῶν διὰ τῆς διόσμου τοῦ ἀέρος δυνάμεως. καὶ γὰρ δίοσμός ἐστιν ἡ διαπορθμευτικὴ δύναμις τῶν ὀσφραντῶν παρὰ Θεοφράστῳ, οὐκ ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόφυσις ἢ ἀπόθεσις. κατέκειτ' ὀσφραινόμενος. οἱ γὰρ ὑπὸ φόβου ἐκλυόμενοι ὀσφρήσει τὸν πόνον παύουσιν· ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται.

○ 722 Ὀσφραίνομαι· γενικῇ.

○ 723 Ὀσφύς.

○ 724 Ὄσχεος: ὁ περὶ τὰ αἰδοῖα τόπος.

○ 725 Ὀσχοφόροι: δύο ἦσαν τῶν γένει καὶ πλούτῳ προεχόντων. ἡ δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν.

○ 726 Ὄττα: φήμη, μαντεία, θεία κληδών. καὶ ὀττεύεσθαι, τὸ μαντεύεσθαι. ὁ δὲ τὸ μέλλον ἐμφρόνως ὀττευσάμενος εἰς ἔννοιαν ἦλθε τὴν φρουρὰν ἀποτρίψασθαι τὴν παρὰ Πτολεμαίου.

○ 727 Ὅτ' ἄν σε καιρὸς εἰσάγῃ: ὅταν σε καιρὸς καλῇ.

○ 728 Ὅταν σύ που ἄλλοσε χάσκῃς: ἀντὶ τοῦ περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς.

○ 729 Ὁτέοισιν: οἷς τισιν.

○ 730 Ὀττευομένη: κληδονιζομένη, οἰωνιζομένη, μαντευομένη. ἐξ αὐτῆς δὲ τῆς τῶν πρέσβεων ἐμφάσεως ὀττευόμενοι εἰς παντοδαπὰς οἰμωγὰς καὶ θρήνους ἐνέπιπτον. ἤτοι τὸ ὀρνεοσκοποῦντες.

○ 731 Ὀττευσάμενος: οἰωνισάμενος, μαντευσάμενος.

○ 732 Ὀττεία: ἡ μαντεία.

○ 733 Ὁτίη τί: ἀντὶ τοῦ διατί. τὸ δὲ τί περιττόν. Ἀριστοφάνης Νεφέλαις. ζήτει τὴν διότι πρὸς τὸ ὅτι ἐν τῷ διότι.

○ 734 Ὅ τι μ' εἰδέναι: ἀντὶ τοῦ ὅσον ἐμὲ εἰδέναι. οὔκουν πονηρά γ' ἐστιν, ὅ τι κἀμ' εἰδέναι.

○ 735 Ὅτι νόμος ἐστὶν ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισίν.

○ 736 Ὅτι ξένους τινὰς ἑαυτῷ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργίῳ καὶ δεδεμένους παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου Σάτυρος, Αἰσχίνης μὲν ἐν τῷ Παραπρεσβείας φησίν. ὁ δὲ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου λέγει, ὅτι τὰς Ἀπολλοφάνους θυγατέρας

ἐξῃτήσατο· καὶ ἔοικε μᾶλλον ἀληθεύειν. καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει· Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

737 Ὅτι παιδὶ καὶ γυναικὶ οὐκ ἐξῆν ἐμβάλλειν πέρα μεδίμνου κριθῶν.

738 Ὅ τι πέρ ἐστιν ὄφελος ἐν τῇ πόλει· Ἀριστοφάνης. τουτέστιν εὐγενεῖς.

739 Ὅτι πρὸς τὴν φυλὴν τοῦ κτησαμένου αἱ πρὸς τοὺς δούλους λαγχάνονται δίκαι.

740 Ὅτι ῥα: ὅτι δή.

741 Ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο.

742 Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλείποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου.

743 Ὅτι οἱ ἁλόντες ἐπ’ ἀκουσίῳ φόνῳ εἶχον εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης τε ἐν τῷ κατὰ Ἀριστοκράτους ὑποσημαίνει καὶ Θεόφραστος ἐν τῷ ιγʹ τῶν Νόμων.

744 Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες.

745 Ὀτλήσοντες: ὑπομενοῦντες, κακοπαθήσοντες. ἐν Ἐπιγράμμασι· ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον. ἐξ ὑμέων γάρ, φεῦ, πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην.

746 Ὄτλος: ἡ κακοπάθεια. καὶ Ὀτλεύω, τὸ κακοπαθῶ. τάλας, ἐφώνει, μόχθον οἷον ὀτλεύεις.

747 Ὄτοβον: ὅμαδον, ἦχον. οὔτε γλυκὺν αὐλῶν ὄτοβον. καὶ αὖθις· περιίσταται διαπρύσιος ὄτοβος.

748 Ὀτοτύζειν: θρηνεῖν.

749 Ὅτου χάριν: τίνος ἕνεκεν.

750 Ὅτῳ γὰρ φίλον: ᾧ τινι ἀρέσκει. ὅτῳ δὲ μὴ τάδ’ ἐστιν ἐν γνώμῃ φίλα, κεῖνός τ’ ἐκεῖνα στεργέτω, κἀγὼ δὲ ταῦτα. καί, ὅτῳ ἂν αὐτὸν τιμωρήσαιντο. ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ ᾧ τινι.

751 Ὀτραλέως: σπουδαίως.

752 Ὁ τρέσας: ὁ Ἀριστόδημος οὕτως ἐκλήθη, ὃς σὺν Εὐρύτῳ τοὺς ὀφθαλμοὺς οὐκ ἐκοινώνησε τῆς τῶν Περσῶν μάχης.

753 Ὀτρῆος.

754 Ὀτρηρός: ταχύς, δραστήριος, ὀξύτατος.

755 Ὄτριχας: ὁμοιότριχας.

756 Ὁ τρυγίας: παρὰ τῇ Γραφῇ, τὸ ἔσχατον τῆς ὀργῆς.

757 Ὁ τρύγοιπος ταῦτα πάντ’ ἰάσεται: ἐπὶ τῶν χρηστὰ ἐπαγγελλομένων περί τινων ὑποθέσεων.

758 Ὀτρυλήφατος: ὁ Δημητριακὸς καρπός.

759 Ὀτρύνοντος: κελεύοντος. καὶ Ὀτρύνω σε· αἰτιατικῇ.

760 Οὗ: τοπικὸν ἐπίρρημα, ἀντὶ τοῦ ὅπου. οὗ κῶλα κάμψον τοῦδ’ ἐπ’ ἀξέστου πέτρου, μακρὰν γὰρ ὡς γέροντι προυστάλης ὁδόν. ἀντὶ τοῦ προῆλθες μακροτάτην ὁδὸν ἢ ὡς ἔπρεπε γέροντι. καὶ αὖθις· δειξάτω, οὗ κεῖται Ὁμήρου ῥαψῳδιῶν στίχος. ἀλλ’ οὐδ’ ἂν Ἴωνα δοκῶ τὸν ῥαψῳδὸν ἐξευρεῖν.

761 Οὗ· ὅτι δισσῶς τὸ οὗ ἕνεκα λεγομένου, τοῦ τε οὗ καὶ τοῦ ᾧ· ἡ μὲν γὰρ ψυχή, φησί, τέλος ὡς οὗ, τὸ δὲ ζῷον ὡς ᾧ. ποιεῖ γὰρ τὸ ὀργανικὸν σῶμα ἡ φύσις τῆς μὲν ψυχῆς ἕνεκα, ἵνα χρῆται αὐτῷ ὡς τέλος ἡ ψυχὴ ὡς οὗ, τέλος δὲ ὡς ᾧ τὸ ἔμψυχον· ὥστε γὰρ ἀνεμποδίστους εἶναι τῷ ζῴῳ τὰς ἐνεργείας, πάντα ποιεῖ ἡ φύσις. ἢ τοίνυν οὕτως τὸ οὗ καὶ τὸ ᾧ ἢ ἄλλως. οὗ μὲν ἕνεκα τῆς κοσμοποιΐας, καὶ τῆς ἀϊδιότητος· τούτου γὰρ πάντα ἐφίεται· ᾧ δὲ τῇ ψυχῇ· ταύτῃ γὰρ παρασκευάζει εἰς χρῆσιν τὸ ὄργανον· ὅπερ καὶ μᾶλλόν ἐστιν ἀληθέστερον.

762

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὐαλεντινιανός, Ῥωμαίων βασιλεύς, Χριστιανὸς καὶ τὰ τοῦ ὁμοουσίου φρονῶν οὐδὲν τοὺς ἐναντίους ἠδίκει. ἐγένετο δὲ καὶ πρὸς τὸ νομοθετεῖν ἑτοιμότατος, φροντίζων καὶ τῆς τῶν θησαυρῶν δικαίας ὑποδοχῆς, πρὸς δὲ ταῖς τῶν ἀρχόντων αἱρέσεσιν ἀκριβὴς καὶ τιμωρίαις τῶν ἀπειθούντων ἀπαραίτητος ἐπί τε τοῖς πολέμοις ἄριστος. ὁ δὲ Οὐάλης τῆς Ἀρείου δόξης μεταποιούμενος πολλοὺς ἐξορίαις ὑπέβαλλε· καθ’ ὃν χρόνον τῆς ἐν Ῥώμῃ ἐκκλησίας Λιβέριος προειστήκει, τῆς δὲ ἐν Ἀλεξανδρείᾳ Ἀθανάσιος καὶ τῆς ἐν Κωνσταντινουπόλει Εὐδόξιος, τῆς Ἀρείου θρησκείας διδάσκαλος. ζήτει ἐν τῷ Σαλούστιος.

○ 763 Οὐαλεντινιανός, βασιλεὺς Ῥωμαίων. οὗτος διὰ τῆς μητρὸς Ἰουστίνης παρετράπη τῆς ὀρθῆς πίστεως καὶ ἐξεβλήθη τῆς βασιλείας. καὶ ἐλθὼν πρὸς Θεοδόσιον ἐπαιδεύθη τὴν ὀρθὴν πίστιν· ἔλεγε γὰρ αὐτῷ ὁ Θεοδόσιος τὴν βασιλικὴν παράταξιν ἑστάναι οὐ δι’ ὅπλων, ἀλλ’ ἐξ ἀγαθῶν προφάσεων. καί, οἶδα, φησίν, Οὐαλεντινιανέ, παρὰ τῶν εὐσεβεστάτων βασιλέων, ἡσυχάζοντος τοῦ στρατοπέδου, τὴν νίκην κατορθωθεῖσαν καὶ τοὺς πολεμίους ὑποταγέντας ὑποτελεῖς γεγενῆσθαι τοῦ προλαβόντος κινδύνου. οὕτω καὶ ὁ Κωνσταντῖνος ὁ μέγας ἀνορθωθεὶς Λικίννιον τὸν τύραννον ἐν ναυαγίῳ διέφθειρεν, οὕτω καὶ Οὐαλεντινιανὸς ὁ σὸς πατὴρ εὐτυχέστερον τὴν βασιλείαν καὶ ἀβλαβῆ παρὰ τῶν πολεμίων ἰθύνων ἐτέλεσε, τοῦ θεοῦ ἐκδικοῦντος αὐτόν, καὶ μάχας ἀναριθμήτους καὶ νίκας ἀπίστους ἐδέξατο, πολλοὺς βαρβάρους διαφόρως ἀνελών. Οὐάλης δὲ ὁ θεῖος ὁ σὸς τὸν θεὸν διασπαράττων ἐμίανε τὴν ἐκκλησίαν ὁ βέβηλος διὰ τῆς σφαγῆς τῶν ἁγίων καὶ ἐξορίας τῶν ἱερέων. ὃς τῇ τοῦ θεοῦ βουλήσει ὑπὸ τῶν Γότθων πολιορκηθεὶς ἐκαύθη. ὀρθῶς τὸν Χριστὸν σέβει ὁ ἀδίκως σε ἐκβαλών. ἡ σὴ ἀπιστία Μαξίμῳ εὐχέρειαν συνήνεγκεν. εἰ τὸν Χριστὸν βλάπτομεν, τίνα παρακαλέσομεν μαχόμενοι; ταῦτα καὶ πλείω τούτων νουθετήσας Θεοδόσιος Οὐαλεντινιανὸν εἰς τὴν ὀρθὴν πίστιν μετήγαγεν.

○ 764 Οὐάλης, βασιλεὺς Ῥωμαίων· ὃς κακοδοξῶν καὶ συγκροτῶν τοὺς αἱρετικοὺς εἰς τὴν ὁδὸν τῶν ἰδίων πατέρων ἐπορεύετο. καὶ γὰρ ἐπισκόπους εἰς ἐξορίαν ἔπεμπε καὶ πρεσβυτέρους καὶ διακόνους καὶ μοναχούς, Τατιανοῦ τότε ἄρχοντος Ἀλεξανδρείας· καὶ πολλοὺς τῶν Χριστιανῶν ἐβασάνισε καί τινας πυρὶ παρέδωκε. ταῦτα δὲ πάντα μετὰ τὴν τελευτὴν Ἀθανασίου. οἱ οὖν ἐν Κωνσταντινουπόλει ὀρθόδοξοι ἐλεηθήσεσθαι νομίζοντες ὑπὸ Οὐάλεντος πρεσβείαν ἔστειλαν πρὸς αὐτὸν ἐν Νικομηδείᾳ τυγχάνοντα, πέμψαντες π′ ἱερατικοὺς ἄνδρας, ὧν ἡγοῦντο Θεόδωρος καὶ Κουρβασὸς καὶ Μενέδιμος· οὓς ἅπαντας σὺν τῷ πλοίῳ ὑφαφθῆναι προσέταξε. καὶ πάντες σὺν τῇ νηῒ κατεφλέχθησαν, μέχρι Δακιβίζων τοῦ πλοίου διαρκέσαντος κἀκεῖσε διαλυθέντος. ἐπὶ τοῦ βδελυροῦ Οὐάλεντος Λούκιός τις ἐπίσκοπος τῆς τῶν Ἀρειανῶν αἱρέσεως παραχρῆμα ὡς λύκος τῇ ἐκκλησίᾳ ἐπεπήδησεν· ὁ δὲ Πέτρος εἰς τὴν Ῥώμην ἀπέφυγεν. ὁ δὲ Λούκιος τοσαῦτα ἐνεδείξατο, οἷα οὐδὲ ἐν τοῖς διωγμοῖς τῶν Ἑλλήνων ἐγένετο· τρεῖς γὰρ χιλιάδας ἀπέστειλε κατὰ τὴν ἔρημον ἀναιροῦντας καὶ πορθοῦντας τοὺς θεοσεβεῖς ἄνδρας.

○ 765 Οὗ ἀρᾶς: οὗ τινος κατάρας.

○ 766 Οὔαρος, Λαοδικεύς, σοφιστής, σύγχρονος Πολέμωνος καὶ ἄλλων.

○ 767 Οὐάρωνος: ὄνομα κύριον.

○ 768 Οὐ γὰρ: Ἀριστοφάνης Νεφέλαις. ἀντὶ τοῦ ἀλλὰ καὶ γὰρ Ἀττικῶς· ὡς Καλλίμαχος· ἀκούσαθ’ Ἱππώνακτος· οὐ γὰρ ἀλλ’ ἥκω. ἀντὶ τοῦ καὶ γὰρ ἥκω. καὶ ἐν Βατράχοις, οὐ γὰρ ἀλλά, ἀντὶ τοῦ καὶ γὰρ Ἀττικῶς. ἀντὶ τοῦ ἔχω γὰρ κακῶς. ὁ δὲ εἶπεν, οὐ γάρ, ἀλλ’ ἔχω κακῶς. τὸ δὲ ἀλλὰ παρέλκεται καὶ ἐν Βατράχοις· οὐ γὰρ ἀλλὰ πειστέον. ἀντὶ τοῦ καὶ γὰρ πειστέον. οὐδαμῶς, φησίν, ὀφείλεις λέγειν, ἀλλὰ καὶ διδόναι, ἵνα σοι πιστεύσω, ὅτι ἀληθῶς ἐπαγγέλλῃ μοι αὐτὰ διδόναι. καὶ ἐν Θεσμοφοριαζούσαις· οὐ γὰρ ἀλλ’ ὑπερφυῶς ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ ἐκκλησία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

◦ 769 Οὐ γὰρ ἄκανθαι: λεγόμενον ἐπὶ τῶν ὠφελίμων, ἀπὸ τῆς τοῦ βίου εἰς τὸ ἡμερώτερον μεταβολῆς.

◦ 770 Οὐ γάρ μ’ οὔ ’στιν ἀλλ’ ἀκουστέον: τὸ τέλειον, οὐ γὰρ ἀλλά μοι ἐστὶν ἀκουστέα. ἀντὶ τοῦ πάνυ γάρ. Ἀριστοφάνης Βατράχοις. καὶ ἐν Ἱππεῦσιν· ἄπιθ’· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις. ἀντὶ τοῦ καὶ γὰρ τοῦ παραθέντος ἡ χάρις.

◦ 771 Οὐ γὰρ πείσεις, οὐδ’ ἢν πείσῃς: καθ’ ὑπερβολὴν λέγει. κἂν πείσῃς, οὐχ ἕξεις ἡμᾶς πειθομένους.

◦ 772 Οὐγκία: εἶδος μέτρου· ἢ σταθμός.

◦ 773 Οὐδαμά· καὶ μέντοι τῆς ἀθεΐας Ἐπίκουρος ἠνέγκατο μισθὸν οὐδαμὰ οὐδαμῆ μεμπτόν.

◦ 774 Οὐδαμῆ: ἀντὶ τοῦ οὐδαμόθι. Τηλεκλείδης Ἡσιόδῳ. Αἰλιανός· ὁ δὲ ἀποκτείνει αὐτοὺς καὶ περισυλοῖ ὅσους ἐπηγάγοντο. ἦν δὲ κόσμος καὶ σκευὴ περὶ τὴν τέχνην τὴν ἑκατέρου οὐδαμῆ εὐκαταφρόνητα. καὶ αὖθις· καὶ μαρτύρια ἐπάγονται οὐδαμῆ ἄσημα.

◦ 775 Οὐδ’ αἵματι κλαίω· ζήτει ἐν τῷ αἵματι κλαίειν.

◦ 776 Οὐδαμινός.

◦ 777 Οὐδαμῶς: κατ’ οὐδένα τρόπον.

◦ 778 Οὐδ’ ἀπὸ γῆς ὤνυσεν: ἐπὶ τοῦ ἐλαχίστου.

◦ 779 Οὐδὲ γρὺ λόγων ἁψάμενος, ὅσα γε εἰκός ἐστι ταῖς ἐπιστολαῖς σου τεκμήρασθαι· Ἰουλιανός.

◦ 780 Οὐδὲ Ἡρακλῆς πρὸς δύο: τοὺς Μολιονίδας ἔφυγε. Δίων δὲ ἐν β′ τῆς β′ συντάξεως Ἡρακλέα τὸν Ἰδαῖον Δάκτυλον, καταδείξαντα Ὀλύμπια, πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι.

◦ 781 Οὐδὲν ἀνῆκε: περισσὸν τὸ δεν. ἀντὶ τοῦ οὐκ ἀνῆκεν. οὐδὲν ἀνῆκεν εὔνους τε τῇ πατρίδι τῇ ἑαυτοῦ.

◦ 782 Οὐδὲν ἀνίει· αὐτός τε οὐδὲν ἀνίει, παράδειγμα ἑαυτὸν ἐπιδεικνὺς τῆς τε ἄλλης ἀσκήσεως καὶ παντὸς ἔργου στρατιωτικοῦ. καὶ αὖθις· οὐδέν τι πλέον ἀνίει ὁ νεανίας τάς τε προσβολὰς ἀνακόπτων καὶ πᾶσαν βουλὴν ἀμυντηρίων διανοούμενος.

◦ 783 Οὐδὲν ἀπὸ τρόπου: ἀντὶ τοῦ οὐκ ἀπεικός Ἀττικοί.

◦ 784 Οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου: οὐ γὰρ τοιοῦτον ἐγὼ δύναμαι εἰπεῖν, οἷον ὁ νόμος. οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη· ἀντὶ τοῦ τὸ κωλύον.

◦ 785 Οὐδ’ ἐν δέρματι: ἀντὶ τοῦ γυμνός. ὑπερβολικῶς.

◦ 786 Οὐδὲν δὲ οἷον ἔστ’ ἀκοῦσαι τῶν ἐπῶν: τουτέστιν οὐδὲν κωλύον ἐστὶ καὶ νῦν ἀκοῦσαι τῶν χρησμῶν. οὕτως ἔλεγον τὸ λυσιτελοῦν. οὐδὲν οἷον, οὐδὲν κωλύον.

◦ 787 Οὐδὲν ἔλαττον· ὁ δὲ ἐκήλει τοὺς ἀκούοντας οὐδὲν ἔλαττον, εἰ μὴ καὶ πλέον Ὀδυσσεὺς Ὁμήρου τοὺς Φαίακας. ὁ μέν γε Ἀλκίνοος ἀπολογίας μεστός, ἐν μὲν ὑπονοίαις ἀληθευούσης, ἐν δὲ τῷ φανερῷ διαβεβλημένης εἰς τὸ ψευδέστερον.

◦ 788 Οὐδὲν ἐξ ἀγροῦ λέγεις: ἀντὶ τοῦ οὐδὲν εὐτελές, ἢ κοινόν.

◦ 789 Οὐδέν ἐστ’ ἄμεινον οὐδ’ ἥδιον ἢ φῦσαι πτερά.

◦ 790 Οὐδένες: οἱ οὐδαμινοὶ τῶν ἀνθρώπων. καὶ Οὐδένεια, ἡ ἀπανθρωπία.

◦ 791 Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον, οὐδὲ πῦρ, οὐδ’ ὧδ’ ἀναιδὴς οὐδεμία πόρδαλις.

◦ 792 Οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον: παρέλκει τὸ δεν. ἤθελε γὰρ εἰπεῖν οὐκ ἦλθε, συνήθως.

◦ 793 Οὐδὲν ἦν παρά τ’ ἄλλα πλὴν ὁ χρυσός.

◦ 794 Οὐδὲν Ἡρακλῆς πρὸς δύο: φασὶν Ἡρακλέα θέντα τὸν Ὀλυμπιακὸν ἀγῶνα πιστεύσαντά τε τῇ ἑαυτοῦ δυνάμει τῇ προτεραίᾳ πενταετηρίδι πυκτεῦσαι πρὸς δύο, Κτέατον καὶ Εὔρυτον, τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ποσειδῶνος καὶ Μολιόνης παῖδας, καὶ ἀνελεῖν αὐτούς· τῇ δευτέρᾳ δὲ πάλιν ὁμοίως πρός τινας δύο πυκτεύσαντα ἡττηθῆναι.

795 Οὐδὲν ἧττον: ἀντὶ τοῦ ἴσον, ὅμοιον. φιλοσοφοῦντος οὐκ ἔστι μαντικὴν ἐπαγγέλλεσθαι καὶ προφέρειν οὐδὲ τὴν ἄλλην ἱερατικὴν ἐπιστήμην· χωρὶς γὰρ τὰ τῶν φιλοσόφων καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν. καὶ αὖθις· ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται. παρέλκει τὸ δεν. καί, οὐδὲν ἐπαύετο ἀεὶ τοῖς βιβλίοις ἐνδιαιτώμενος. παρέλκει τὸ δεν.

796 Οὐδεναιός: πολυχρόνιος.

797 Οὐδένεια: ἡ ἀπανθρωπία.

798 Οὐδὲν ἱερόν: Ἡρακλῆς εἶπεν Ἀδώνιδος ἰδὼν ξόανον, ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπους μόνων ὀφειλόντων τιμᾶσθαι· ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δοῦλοι ἄδειαν οὐκ εἶχον.

799 Οὐδενὶ σὺν νῷ: τουτέστιν ἀφρόνως. ὅς τε καὶ τὴν στρατηγίαν οὐδενὶ σὺν νῷ ποιησάμενος φαίνεται.

800 Οὐδενί τῳ ἄλλῳ: οὐδενί τινι.

801 Οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος ἢ σκυτοτομεῖν: ἐπὶ τῶν εἰς μηδὲν λυσιτελούντων. παρ’ ὅσον οἱ μέλανες τῶν λευκῶν λυσιτελέστεροι.

802 Οὐδὲν μᾶλλον: ὅτι οἱ Σκεπτικοί, τουτέστιν οἱ Πυρρώνειοι, τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες αὐτοὶ οὐδὲν ἀποφαίνονται δογματικῶς· προσφέρονται δὲ ἀποφάσεις εἰς μήνυσιν τῆς ἀπροπτωσίας, ὡς εἰ καὶ νεύσαντας τοῦτο ἐνεδέχετο δηλῶσαι. διὰ τῆς οὐδὲν ὁριζομένης φωνῆς τὸ τῆς ἀρεψίας πάθος δηλοῦται· ὁμοίως δὲ καὶ διὰ τῆς, οὐδὲν μᾶλλον, καὶ τῆς, παντὶ λόγῳ λόγος ἀντίκειται, καὶ ταῖς ὁμοίαις. λέγεται δὲ τὸ οὐδὲν μᾶλλον θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων· οἷον, οὐθὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν ἢ ὁ ψεύστης. ὑπὸ δὲ τῶν Σκεπτικῶν οὐ θετικῶς, ἀλλ’ ἀναιρετικῶς λέγεται· ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος καὶ λέγοντος, οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν ἢ Χίμαιρα. αὐτὸ δὲ τὸ μᾶλλον ποτὲ μὲν συγκριτικῶς ἐκφέρεται· ὡς ὅταν φῶμεν, μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὴν σταφίδα· ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς· ὡς ὅταν λέγωμεν, μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει. σημαίνομεν γάρ, ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ’ οὔ. ἀναιροῦσι δ’ οἱ Σκεπτικοὶ καὶ αὐτὴν τὴν οὐδὲν μᾶλλον φωνήν· ὡς γάρ, οὐ μᾶλλόν ἐστι πρόνοια, ἢ οὐκ ἔστι· οὕτω καὶ τό, οὐδὲν μᾶλλον ἔστιν, ἢ οὐκ ἔστι. σημαίνει οὖν ἡ φωνὴ τὸ μηδὲν ὁρίζειν, ἀλλ’ ἀπροσθετεῖν. ἡ δὲ παντὶ λόγῳ φωνὴ καὶ αὐτὴ συνάγει τὴν ἐποχήν. τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων, ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ. εἰσὶ δέκα τρόποι, καθ’ οὓς τὰ ὑπερκείμενα παραλλάττοντα ἀπεφαίνετο.

803 Οὐδὲν μέλον αὐτῷ· τὸ δὲ τῶν Ῥωμαίων ἄθροισμα ἀπόμαχον ἦν, οὐδὲν μέλον αὐτῷ περὶ ἀλλοτρίου τοῦ πράγματος τῶν γινομένων τὴν φροντίδα τιθέμενον.

804 Οὐδὲν πρὸς ἔπος: ἀντὶ τοῦ ὡς ἔτυχεν, ἕνεκα μηδενός.

805 Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ, πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ’, ὅπως ἔχει. ἀντὶ τοῦ ὡς ἔτυχεν, ἐκ τοῦ μηδενός.

806 Οὐδὲν πρὸς τὸν Διόνυσον: Ἐπιγένους τοῦ Σικυωνίου τραγῳδίαν εἰς τὸν Διόνυσον ποιήσαντος, ἐπεφώνησάν τινες τοῦτο· ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως· τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγετο· ὕστερον δὲ μεταβάντες εἰς τὸ τραγῳδίας γράφειν κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν, μηκέτι τοῦ Διονύσου μνημονεύοντες· ὅθεν τοῦτο καὶ ἐπεφώνησαν. καὶ Χαμαιλέων ἐν τῷ Περὶ Θέσπιδος τὰ παραπλήσια ἱστορεῖ, Θεαίτητος δὲ ἐν τῷ Περὶ παροιμίας Παρράσιόν φησιν τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιστον· τοὺς δὲ ὁρῶντας τά τε τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνταγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παρρασίου Διόνυσον, ἐπιφωνεῖν, τί πρὸς τὸν Διόνυσον; ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. καὶ αὖθις· τὸν Κόροιβον Ὀδυσσέα φήσας εἶναι τὸν πολύτροπον. καίτοι μὴ πρὸς τοῦτο παράδειγμα φέρων, τῇ φάτνῃ προσάγεις τὸν κύνα καὶ πρὸς τὸν Διόνυσον ἄγεις οὐδέν.

○ 807 Οὐδὲν προτιμῶ σου: ἀντὶ τοῦ οὐ φροντίζω σου. ἡ φράσις Ἀττική. Ἀριστοφάνης Πλούτῳ· φορῶ γὰρ τὸν δακτύλιον ταυτὶ παρ’ Εὐδάμου δραχμῆς. ἀντὶ τοῦ οὐ φροντίζω σου. Εὔδαμος δὲ φιλόσοφος ἦν.

○ 808 Οὐδ’ ἐν σελίνοις: ἐπὶ τῶν μηδὲ τὴν ἀρχὴν πεφθακότων. ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων· ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους περικήπους, σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος· καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν.

○ 809 Οὐδέν τι πλέον εἶχον ἀνύειν οἱ βάρβαροι. οὔ τοι ᾤοντο χρῆναι μὴ οὐχὶ γενναιότατα συμπλέκεσθαι τοῖς πολεμίοις.

○ 810 Οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ.

○ 811 Οὐ δέον: οὐ πρέπον. ἐκστῆναι τῶν χωρίων, ὧν Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι διὰ σπουδῆς ἔσχεν.

○ 812 Οὐδέποτ’ ἐγὼ τοῦτον ὑποδέξομαι· οὐδὲ παρ’ ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται, ὅτι παροίνιος ἀνὴρ ἔφυ: ἐν ταῖς τῶν πότων συνόδοις ᾖδον μέλος τι, Ἁρμόδιον καλούμενον, οὗ ἡ ἀρχή· φίλτατε Ἁρμόδιε, οὔτι που τέθνηκας. ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ Λάμπωνος. ὁ δὲ λόγος, οὐδέποτε παρ’ ἐμοὶ ἑστιαθήσεται ὁ τοιοῦτος. παροίνιος δὲ ὁ μέθυσος καὶ ὑβριστής.

○ 813 Οὐδὲ πυρφόρος: ὅταν πολλοὺς ἀποφῆναι βουλώμεθα τοὺς τελευτήσαντας, λέγομεν, ὅτι οὐδὲ πυρφόρος ὑπελείφθη. οἷον οὐδὲ ὁ τὸ πῦρ οἴσων εἰς τὴν πόλιν. καθάπερ εἰ ἐλέγομεν, οὐδὲ σκηνοφύλαξ, ἤ τις τῶν παραπλησίων.

○ 814 Οὐδὲ πυρφόρος ἐλείφθη: ἐπὶ τῶν μεγάλων κινδύνων εἴρηται ἡ παροιμία· ἐπειδὴ πάσης πολεμικῆς παρασκευῆς ἔδει τὸν μάντιν ἡγεῖσθαι, δάφνης ἔχοντα κλάδους καὶ στέμματα καὶ λαμπάδα· καὶ τούτου νόμος ἦν μόνου φείδεσθαι τοὺς πολεμίους. ἐπὶ τοίνυν τῶν πανωλεθρίᾳ διεφθαρμένων καιρὸν ἔσχεν ἡ παροιμία.

○ 815 Οὐδ’ ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς: πιθανῶς τὸ μὴ εἰπεῖν πλείονα τοῦ πατρὸς κακοπαθῆσαι, ἀλλὰ μὴ ἐλάττονα.

○ 816 Οὐδὲ τὰ τρία Στησιχόρου γινώσκεις: ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμούσων εἴρηται ἡ παροιμία· ἐπειδὴ εὐδόκιμος ἦν.

○ 817 Οὐδὲ τἀρχαῖον ποιεῖ.

○ 818 Οὐδὲ χαίρω βατίσιν οὐδ’ ἐγχέλυσιν, ἀλλ’ ἥδιον ἂν δικίδιον σμικρὸν φάγοιμ’ ἂν ἐν λοπάδι πεπνιγμένον. Λοπάς, τὸ τήγανον.

○ 819 Οὔδει: ἐδάφει.

○ 820 Οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας.

○ 821 Οὐδεὶς κομήτης, ὅστις οὐ περαίνεται.

○ 822 Οὐδεὶς οἶδε τὸν θησαυρὸν τὸν ἐμὸν, πλὴν εἴ τις ἄρ’ ὄρνις: παροιμιακόν. οὐδεὶς οἶδε τί ὡμίλησα, πλήν γε εἴ τις ὄρνις. ἐπὶ τῶν ἀγνώστων. πάλιν· οὐδείς με θεωρεῖ, πλὴν ὁ παριπτάμενος ὄρνις. Ἀριστοφάνης.

○ 823 Οὐ δήπου μ’ ἀφελέσθαι διανοῇ, ἄδωκας αὐτός; οὐ τάχ’· ἀλλ’ ἤδη ποιῶ: ἀντὶ τοῦ ὄντως διανοῇ, ὥστε ἀφελέσθαι τὰ ὅπλα με; ἡ γὰρ οὐ ἄρνησις συγκατάθεσιν δηλοῖ. οὐδόλως, φησί, διανοοῦμαι, ἀλλ’ ἤδη αὐτὰ ἀφαιροῦμαι. οἷον οὐ διστάζω.

○ 824 Οὐ διαφρήσετε: ἀντὶ τοῦ οὐ διαφορήσετε, οὐδὲ διαπέμψεσθε. Ἀριστοφάνης.

○ 825 Οὐδ’ ἴκταρ βάλλει: εἴρηται δὲ κατὰ γλῶτταν· ὥσπερ τὸ διωλύγιον. ἀντὶ τοῦ οὐδὲ μικρὸν ἐξισάζει, οὐδόλως.

○ 826 Οὐδός: φλιά, βατήρ, τὸ κάτω τῆς θύρας· ἢ ἔδαφος· ἢ βαθμός.

○ 827 Οὐδὸς ἐς λαύρην: ἡ στενὴ ὁδός. παρὰ τὸ ῥέειν τὸν λαὸν δι’ αὐτῆς. ζήτει ἐν τῷ λαύρα.

○ 828 Οὐδ’ ὅσον ἀηδόνες ὑπνώουσιν: ἐπὶ τῶν ἀγρυπνούντων· παρ’ ὅσον ἡ ἀηδὼν ἀγρυπνεῖ διὰ τὸν Ἴτυν· μᾶλλον δὲ διὰ δειλίαν.

○ 829 Οὐδ’ ὥς: οὐδαμῶς δή.

○ 830 Οὐδ’ ὑφ’ ἕνων: Ἀττικοὶ ἀντὶ τοῦ ὑπ’ οὐδένων λέγουσιν ὑπερβιβάζοντες.

○ 831 Οὗ ἕθεν: οὗ τινος ἕνεκα.

○ 832 Οὐεργίλιος: ὄνομα κύριον.

○ 833 Οὐεσπεσιανός: ὄνομα κύριον. βασιλεὺς Ῥωμαίων. καὶ ζήτει ἐν τῷ Βεσπασιανός.

○ 834 Οὐετηρία: ὄνομα κύριον.

○ 835 Οὐηστῖνος, Ἰούλιος χρηματίσας, σοφιστής. Ἐπιτομὴν τῶν Παμφίλου Γλωσσῶν βιβλία ϟδʹ, Ἐκλογὴν ὀνομάτων ἐκ τῶν Δημοσθένους βιβλίων, Ἐκλογὴν ἐκ τῶν Θουκυδίδου, Ἰσαίου, Ἰσοκράτους καὶ Θρασυμάχου τοῦ ῥήτορος καὶ τῶν ἄλλων ῥητόρων.

○ 836 Οὐΐνδικτος: ὁ κατὰ οὐΐνδικτον ἐλευθερούμενος.

○ 837 Οὖθαρ: τὸ γονιμώτατον μέλος.

○ 838 Οὔθατα: οἱ μαζοὶ τῶν προβάτων.

○ 839 Οὐ θᾶττον ἐγκονήσεις: οὐ ταχύτερον ἐνεργήσεις;

○ 840 Οὐ θελήσει: οὐ δυνήσεται. Ὅμηρος· οὐδ’ ἐθέλει προρρέειν. ἀντὶ τοῦ οὐ δύναται.

○ 841 Οὔθ’ ὕεται οὔτε ἡλιοῦται: ἐπὶ τῶν ἔξω πάσης φροντίδος ὄντων.

○ 842 Οὐκ ἀδύνατοι· ὅτι τὸ οὐκ ἀδύνατοι μεσότητός ἐστι ῥῆμα, οἷον οὔτε τελείως δυνατοὶ οὔτε ἀσθενεῖς.

○ 843 Οὐκ ἀθεεί: οὐ χωρὶς θείας προνοίας.

○ 844 Οὐ καθέστηκεν: οὐ νήφει, μαίνεται.

○ 845 Οὐκ ἄλλως ποιεῖται: ἀντὶ τοῦ οὐ μάτην.

○ 846 Οὐκ ἂν ἀποδοίης; οὐχ, ὅσον γ’ ἐμοί γ’ εἰδέναι: ἀντὶ τοῦ ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι καὶ οἶδά τι. τουτέστιν αἰσθάνομαι.

○ 847 Οὐκ ἀνασχήσομαι: τινὲς τοῦτο ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι.

○ 848 Οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι νέκυν· καὶ Ὅμηρος· γαστέρι δ’ οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.

○ 849 Οὐκ ἄνευ γε Θησέως: Θησεὺς καὶ τῷ Μελεάγρῳ συνηγωνίσατο πρὸς τὴν θήραν τοῦ κάπρου καὶ τῷ Πειριθόῳ κατὰ τῶν Κενταύρων καὶ τῷ Ἡρακλεῖ πρὸς τὰς Ἀμαζόνας. ὅταν οὖν θαυμαστόν τι πραχθῇ, οὐκ ἄνευ γε Θησέως λέγεται.

○ 850

Οὐκ ἄνευ τινός: τοῦτο τριχῶς λέγεται. ἢ γὰρ τὸ μήτε βλάπτον μήτε ὠφελοῦν. ὡς λέγομεν, οὐκ ἄνευ σκιᾶς τὸ ἐν φωτὶ σῶμα. ἢ τὸ ἐξ ἀνάγκης, ὡς ὄργανον ἤ τι τοιοῦτον· ὡς λέγομεν, ἠρίστευσεν Ἀχιλλεύς, ἀλλ' οὐκ ἄνευ τῆς μελίας (πρὸς τὴν ἀριστείαν οὐ γὰρ ἠδύνατο γυμνὸς ἀριστεῦσαι). ἢ τὸ πάθος ἐμποδίζον· ὡς λέγομεν, ἐν χειμῶνι πλεύσας ἐσώθη, ἀλλ' οὐκ ἄνευ κινδύνου.

○ 851 Οὐκ ἂν ὀρθῶς, καὶ ἑξῆς. οὕτως δὴ ἀναγνωστέον· οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες· ἡσύχασον.

○ 852 Οὐκ ἀξιῶ: οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω.

○ 853 Οὐκ ἀπεικός: οὐκ ἄτοπον, ἄξιον, ὀφειλόμενον, πρέπον, ὅμοιον. εἰκὸς δέ ἐστι παρὰ τὸ ἐοικός· εἶτα ἀπεικός, τὸ ἀπρεπές, τὸ ἀνόμοιον. καὶ λοιπὸν τὸ οὐκ ἀπεικός, διὰ δύο ἀρνήσεων μία συγκατάθεσις· ὡς τὸ ἥκιστα, οὐδαμῶς· οὐχ ἥκιστα, τὸ μάλιστα.

○ 854 Οὐκ ἀπεικότως: ἀντὶ τοῦ εὐλόγως καὶ εὐπροσώπως.

○ 855 Οὐκ ἀποδύσῃ τὼν νυκτῶν, ἢν οἴκοι γε καθεύδῃς, οὐδ' ἤν γε θύραζ', ὥσπερ πρότερον.

○ 856 Οὐκ ἀπολιβάξεις: ἀντὶ τοῦ οὐκ ἐς κόρακας καὶ Λιβύην ἀποφθερῇ. ἀπὸ τοῦ λιβάς, ὅ ἐστιν ἡ σταγών· ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης· οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος;

○ 857 Οὐκ ἀπορρυήσεται: οὐκ ἀποπεσεῖται.

○ 858 Οὐκ ἀποστατῶ φίλων: ἀντὶ τοῦ οὐ χωρίζομαι φίλων.

○ 859 Οὐκ ἄπο τρόπου: οὐ πόρρω τρόπου.

○ 860 Οὐ κατὰ κόσμον: οὐ κατὰ τὸ πρέπον.

○ 861 Οὐ κατασχὼν τῆς χαρᾶς παρελύθην ἀθρόον τοὺς τόνους τοῦ σώματος.

○ 862 Οὐκ ἐᾷ: οὐ συγχωρεῖ.

○ 863 Οὐκ ἔθ' ὁμῶς τιμῆς ἔσσεαι: Ὁμηρικόν. ἀντὶ τοῦ μεθέξεις τιμῆς.

○ 864 Οὐκ ἐκθανεῖν.

○ 865 Οὐκ ἐκνεομένως: οὐ προσηκόντως. Ἡρόδοτος.

○ 866 Οὐκ ἐκομπολάκουν: ἀντὶ τοῦ κενοὺς οὐκ ἐποίουν ψόφους. οὐκ ἔλεγον κομπώδη, ὡς Αἰσχύλος. οὗτοι ἤλεγχον ἄν μου τὴν τέχνην· ἀλλ' οὐκ ἐκομπολάκουν. Ἀριστοφάνης.

○ 867 Οὐκ ἐκ τοῦ ὁμοίου: οὐκ ἐξ ἴσου. ἄλλα τέ τινα οὐκ ἐκ τοῦ ὁμοίου ποιεῖν ἐκελεύοντο.

○ 868 Οὐκ ἔνδον, ἔνδον ἐστίν, εἰ γνώμην ἔχεις. πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; ὀρθῶς, ὦ γέρον. ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια, οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ τραγῳδίαν: σκώπτει τὸν Εὐριπίδην ὡς συλλογιστικόν, καὶ οὗ ἐὰν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα. οἷον ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος. καὶ πάλιν, αὐτὸς μὲν ἔσω ἐστίν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. Ὁμηρικῶς· Ὅμηρος γὰρ διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα εἰπών, πολλὰς δ' ἰφθίμους ψυχάς, εἶτα, αὐτοὺς δ' ἑλώρια τεῦχεν. οὕτω καὶ Ἀριστοφάνης· εἰπὼν γάρ, ὁ νοῦς μὲν ἔξω, ἐπήνεγκεν, αὐτὸς δ' ἔνδον ποιεῖ τραγῳδίαν ἀναβάδην. τουτέστιν ἄνω τοὺς πόδας ἔχων. ἢ ἐπὶ ὑψηλοῦ τόπου κείμενος, ἢ καθήμενος.

○ 869 Οὐκ ἐνέλιπεν εὐεργετῶν με.

○ 870 Οὐκ ἐξελεύσῃ: ἀντὶ τοῦ οὐ στρατηγήσεις ἡμῶν. Δαβίδ· καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

○ 871 Οὐκ ἐξήεσαν: ἀντὶ τοῦ οὐκ ἐξήρχοντο. Οὐκ ἐξίεσαν δέ, οὐ συνεχώρησαν.

○ 872 Οὐκ ἐξήρκεσεν: οὐκ ἀντέσχε πρὸς τοὺς τρόπους ὑμῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 873 Οὐκ ἐξόν: οὐ προσῆκον, οὐ πρέπον. ὃν παρὰ τὰ πάτρια ὠνόμασεν ἥρως ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν.

○ 874 Οὐκ ἐπαινεθείης, οὐδὲ ἐν περιδείπνῳ: ἐπὶ τῶν μηδενὸς ἀξίων ἡ παροιμία. εἰώθεσαν γὰρ τὸν ἐν τοῖς περιδείπνοις τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν.

○ 875 Οὐκ ἔπεσεν εἰς γῆν ἡ εὐχή: ἀντὶ τοῦ εἰσηκούσθη. οἰκτείρει γὰρ αὐτὸν ὁ θεὸς καὶ ἐς ὕπνον ἐνέβαλεν.

○ 876 Οὐκ ἐπιγλωττήσομαι: οὐ βλασφημήσω.

○ 877 Οὐκ ἐπιεικῶς: οὐ μετρίως. Οὐκ ἐπικῶς δὲ ἀντὶ τοῦ οὐ λογίως.

○ 878 Οὐκ ἐπίσταμαι: ἀντὶ τοῦ οὐ δύναμαι. σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.

○ 879 Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμὴ τοῖς πολλοῖς: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. παροιμία ἐστὶν ἐλλειπῶς εἰρημένη· προσυπακουστέον δὲ ἔξωθεν τὸ ἀγκύρας.

○ 880 Οὐκ ἔσθενεν: οὐκ ἐδύνατο.

○ 881 Οὐκ ἐς μακράν: ἀντὶ τοῦ ταχέως.

○ 882 Οὐκ ἔστιν ἄλλος πλὴν ἐγώ: Ἀττικῶς ἀντὶ τοῦ πλὴν ἐμοῦ. Ἀριστοφάνης Πλούτῳ· μὰ τὸν Δί’· οὐ γάρ ἐστιν ἄλλος πλὴν ἐγώ.

○ 883 Οὐκ ἔστιν ὅς τις πάντ’ ἀνὴρ εὐδαιμονεῖ. ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον, ἢ δυσγενὴς ὢν ληκύθιον ἀπώλεσε. τὸ ἑξῆς, πλουσίαν ἀροῖ πλάκα.

○ 884 Οὐκ ἔστι παρὰ ταῦτ’ ἄλλο: ἀντὶ τοῦ οὐκ ἔστιν ἄλλως γενέσθαι ἢ καθὼς εἴρηκε. τοῦτο, φησί, πάντως δέδοκται, καὶ οὐκ ἂν ἐάσαιμί σε ἕτερόν τι ποιῆσαι. Ἀριστοφάνης. οὐκ ἔστιν ἄλλως γενέσθαι ἢ ἀνελθεῖν εἰς τὸν οὐρανόν. ὁ δὲ οὐδὲν ὅ τι οὐχ ἑτοίμως τῶν προταθέντων ἔσχε συνθέσθαι, οὐχ ὅτι καὶ ἐμμένειν αὐτοῖς ἔμελλεν, ἀλλ’ ἵν’ ἐκ τῶν παρόντων ἀναπνεύσῃ.

○ 885 Οὐκ ἔστι συκοφάντου δήγματος: παροιμία ἐπὶ τῶν ἀνηνύτων. λείπει δὲ τὸ φάρμακον. λέγει δὲ ἐν ἤθει, ὅτι οὐκ ἔστιν ἐπῳδὴ ἢ φάρμακον πρὸς δῆγμα συκοφάντου. ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες, ὅτι χρησιμεύει τόδε πρὸς τόδε. ἄλλως· ἀλεξητήριον δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦμεν φαρμακίτην.

○ 886 Οὐκ ἔσχον: οὐκ ἔσχισα, οὐ διεῖλον. οὕτως ἔκλινεν Ἀττικῶς. ὤπτων γαστέρα, κᾆτ’ οὐκ ἔσχον ἀμελήσας, ἡ δ’ ἄρ’ ἐφυσᾶτο. Ἀριστοφάνης Νεφέλαις.

○ 887 Οὐκέτι.

○ 888 Οὐκ ἐτῶς: οὐκ εἰκότως, ἢ οὐ μάτην· παρὰ τὸ ἐτώσιον, ὅ ἐστι μάταιον· οὐκ ἀλόγως. Ἀριστοφάνης· οὐκ ἐτῶς ἅπαντες οἱ δικάζοντες θαμὰ σπεύδουσιν ἐπὶ πολλοῖς γεγράφθαι γράμμασιν.

○ 889 Οὐκ ἐτός: οὐκ ἀλόγως, οὐκ ἀληθῶς. ἀντὶ τοῦ δικαίως· ἐπιρρηματικὸν γάρ ἐστιν ἀντὶ τοῦ ἐτεῶς· ἀπὸ τοῦ ἐτεῶς συνῃρημένου. Ἀριστοφάνης Πλούτῳ· οὐκ ἐτὸς ἀρ’ ὡς ἔμ’ ἦλθεν οὐδεπώποτε.

○ 890 Οὐκ ἐτὸς ἀφ’ ἡμῶν εἰσιν αἱ τραγῳδίαι· οὐδὲν γάρ εἰσι πλὴν Ποσειδῶν καὶ σκάφη: παροιμία ἐπὶ τῶν ἐγκυλινδουμένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. ὁ δὲ νοῦς· οὐδὲν ἐσμὲν εἰ μὴ συνουσιάζειν καὶ τίκτειν. ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.

○ 891 Οὐκ ἐφέξεις: οὐ παύσῃ.

○ 892 Οὐκ ἔχαδεν: οὐκ ἐχώρησεν.

○ 893 Οὐκ ἔχων ὅ τι χρήσηται τοῖς παροῦσι κακοῖς: ἀντὶ τοῦ ἐξαπορῶν.

○ 894 Οὐκ ἔχω φράσαι· ὅμως γε μέντοι σοι δι’ αἰνιγμῶν ἐρῶ: ἀντὶ τοῦ δι’ ἀσαφείας.

○ 895 Οὔκ εἰμι τούτων τῶν ἡρώων: αὕτη τέτακται ἐπὶ τῶν βουλομένων εὖ ποιεῖν· οἱ γὰρ ἥρωες κακοῦν ἕτοιμοι μᾶλλον ἢ εὐεργετεῖν.

○ 896 Οὐκί: τὸ οὐχί. Ὅμηρος διὰ τοῦ κ γράφει, οὐ διὰ τοῦ χ. δείκνυται γὰρ ἐκ τῶν συναλοιφῶν τὰ μὲν ψιλὰ μεταπίπτοντα εἰς δασέα, ὅταν τὸ ἐπιφερόμενον δασύνηται· ψιλοῦ δὲ ὑποτασσομένου, μὴ μεταπίπτοντα.

○ 897 Οὐ κομῶ: οὐ μέγα φρονῶ. Ἀριστοφάνης Νεφέλαις· κἀγὼ μὲν τοιοῦτος ὢν ποιητὴς οὐ κομῶ. τουτέστιν οὐ μέγα φρονῶ.

○ 898 Οὔκουν: οὐδαμῶς. Οὐκοῦν δὲ συλλογιστικὸς σύνδεσμος. οὐκοῦν οἱ ἀδελφοὶ λαβόντες ἱκετηρίαν ἐπυνθάνοντο ἄρα τοῦ θεοῦ, ὅ τι καὶ χρὴ πράττειν αὐτούς.

○ 899 Οὐκ οἶδ’ ὃ κρώζεις: ἐπὶ τῶν μάτην θρυλούντων, ὡς αἱ κορῶναι. Ἀριστοφάνης· ὅτι μὲν οἶδ’ ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος, ζητεῖς μεταλαβεῖν.

○ 900 Οὖλε: ὑγίαινε, ὁλοκλήρει.

○ 901 Οὐ λελήθασι: φανεροί εἰσιν.

○ 902 Οὐλή: ἐπιπόλαιον ἕλκος εἰς ὑγίειαν ἧκον.

○ 903 Οὐλίθ: ὄνομα κύριον. πορευομένων δὲ αὐτῶν καὶ γενομένων κατά τινα στενωπόν, προῄει μὲν ὁ Οὐλίθ.

○ 904 Οὐ λίνον λίνῳ συνάπτεις: ἐπὶ τῶν τὰ τοιαῦτα μὴ διὰ τῶν αὐτῶν πραττόντων. οὕτω Στράττις ἐν Ποταμίοις.

○ 905 Οὔλιος: ὁ Ἀπόλλων. ἰατρὸς γὰρ ἦν. σημαίνει δὲ καὶ ὀλέθριος.

○ 906 Οὐ λόγων ἀγορὰ δεῖται Ἑλλάδος, ἀλλ’ ἔργων: ἐπὶ τῶν κομπαζόντων.

○ 907 Οὐλοθυτεῖν: κριθὰς ἐπιχέειν τοῖς θύμασιν. οὐλὰς γὰρ ἔλεγον τὰς κριθὰς κατὰ ἀντίθεσιν τῶν ψαιστῶν, ἅπερ ἦν ἄλφιτα ὑπὸ τῆς μύλης κατεψητισμένα· τὰς γὰρ οὐλὰς πρόσθεν ἐκάμπτοντο ἐσθίοντες, οὐδέπω τῆς κατεργασίας αὐτῶν εὑρημένης. καὶ τὰς μὲν κριθὰς μέχρι νῦν ὅλας χέουσιν οἱ ἐπιθύοντες ταῖς σπονδαῖς, ἐπεὶ σύμβολον τῆς παλαιᾶς τροφῆς· τὰ δὲ πόπανα τῆς ἄρτι ὥρας, τουτέστι τῆς αὖθις.

○ 908 Οὐλομένη: ὀλεθρία.

○ 909 Οὐλός: ὁ συνεστραμμένας ἔχων τὰς τρίχας. Ὅμηρος περὶ Ὀδυσσέως· γυρὸς ἐν ὤμοις, μελανόχροος, οὐλοκάρηνος.

○ 910 Οὔλων: ἁπαλῶν, μαλακῶν, συνεστραμμένων ταῖς θριξίν.

○ 911 Οὐλπιανός, Ἐμεσηνός, σοφιστής. Πάτρια Ἐμεσηνῶν, Ἡλιουπόλεως, Βοσποριατῶν καὶ ἄλλων πλείστων, προγυμνάσματα, τέχνην ῥητορικήν.

○ 912 Οὐλπιανός, Ἀντιοχεὺς τῆς Συρίας, σοφιστής, παιδεύσας πρότερον εἰς Ἔμεσαν, ἐν τοῖς κατὰ τὸν βασιλέα Κωνσταντῖνον χρόνοις. λόγους διαφόρους, μελέτας, διαλέξεις· καὶ ἄλλα τινά.

○ 913 Οὐλπιανὸς Γαζαῖος.

○ 914 Οὐλπιανός, ἀδελφὸς Ἰσιδώρου τοῦ φιλοσόφου· ὃς εὐφυέστατος ἐγεγόνει πρὸς τὰς μαθηματικὰς ἐπιστήμας, ὥστε καὶ πολλὰς εἰσενέγκασθαι καινὰς ἀπορίας καὶ λύσεις γε τῶν ἀποριῶν, πρὸς τὰς τῶν μαθημάτων ἐξηγήσεις· ὄνομά τε αὐτῷ μέγα ἦν ἐπὶ τοῖς μαθήμασιν Ἀθήνησιν. θαυμάζων δὲ αὐτοῦ τὴν φύσιν ὁ Συριανὸς διηγεῖτο πολλοῖς τισιν, ὡς οὐδὲν ἦν αὐτῷ προβάλεσθαι κλειδίον οὕτω πολύπλοκόν τε καὶ μηχανικῶς εἰργασμένον, ὅπερ οὐκ ἀνοιγνύναι ῥᾳδίως αὐτόματον· ἀλλ’ ὅμως πρὸς τὴν ἄλλην φιλοσοφίαν μηδὲν ἐπιδείκνυσθαι λόγου ἄξιον. ἐπιεικὴς δὲ καὶ τὰ ἤθη κεκοσμημένος ὁ Οὐλπιανὸς ἐγεγόνει καὶ ἐδόκει ταύτῃ γε τοῦ ἀδελφοῦ διαφέρειν· ἴσως δὲ ἐπειδὴ πραγμάτων πολιτικῶν ἀπέσχετο τὸ πάμπαν ἐξ ἀρχῆς εἰς τέλος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεφύκασι γὰρ οἱ ἄνθρωποι τῇ μισοπράγμονι ζωῇ τὴν ἀρετὴν ἐπιφημίζειν, οὐχ οὕτως ἔχον κατά γε τὴν ἐμήν. ἡ γὰρ ἐν μέσῃ τῇ πολιτείᾳ διὰ τῶν πολιτικῶν ἔργων τε καὶ λόγων ἀναστρεφομένη ἀρετὴ γυμνάζει τε τὴν ψυχὴν πρὸς τὸ ἐρρωμενέστερον καὶ βεβαιοῦται μᾶλλον ἐπὶ τῆς πείρας ὅσον αὐτῆς ὑγιές τε καὶ ὁλόκληρον, ὅσον δὲ κίβδηλον καὶ ἐπίπλαστον ἐμφωλεύει ταῖς ἀνθρωπίναις ζωαῖς, τοῦτο πᾶν διελέγχεται καὶ ἑτοιμότερον καθίσταται πρὸς διόρθωσιν. τὸ δὲ ἀγαθοεργόν τε καὶ ὠφελητικὸν ὅσον ἐστὶν ἐν τοῖς πολιτεύμασι; τὸ δὲ θαρραλέον καὶ βέβαιον ἡλίκον; τοιγαροῦν οἱ ἐν γωνίᾳ καθήμενοι λόγιοι καὶ πολλὰ φιλοσοφοῦντες μάλα σεμνῶς περὶ δικαιοσύνης καὶ σωφροσύνης, ἐκβαίνειν ἐπὶ τὰς πράξεις ἀναγκαζόμενοι ἀσχημονοῦσιν. ὡς ἅπας λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενόν. τοιοῦτος ὁ Οὐλπιανὸς γενόμενος, ἔτι νέος ὢν, ἄγαμος ἐτελεύτα τὸν βίον, πολὺν ἔπαινον ἑαυτοῦ τῆς ἐπιεικείας ἀπολιπών.

○ 915 Οὐμβρακιώτης βουμολγὸς κύρου.

○ 916 Οὐ μέλον αὐτῷ: οὐ φροντιστέον. Μένανδρος· ταύτῃ τοι τῆς κατὰ Νισίβιος πολιορκίας οὐ μέλον αὐτῷ.

○ 917 Οὐ μὲν δή: ἀντὶ τοῦ ὅμως δή, ἥκιστα δή, ἀλλὰ οὐ δή.

○ 918 Οὐ μετὸν αὐτῷ: ἀντὶ τοῦ οὐκ ἐξόν. Ἀριστοφάνης Νεφέλαις. καὶ Μένανδρος· ὕδατος αὐτοῖς οὐ μετόν.

○ 919 Οὐ μὴ ληρήσῃς: οὐ παύσῃ ληρῶν;

○ 920 Οὐ μήν: ἀλλὰ μήν, οὐδαμῶς, οὐ μόνον, ἔτι μήν, ὅμως δέ. οὐ μὴν εἶχε ποιεῖν οὐδὲν, ἀλλ’ ἔμενε κατὰ χώραν τηρούμενος ἐπιμελῶς.

○ 921 Οὕνεκα.

○ 922 Οὐννικόν· ζήτει ἐν τῷ ἀπόνοια.

○ 923 Οὐολοῦσκοι: ὄνομα ἔθνους.

○ 924 Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ’ ὁ πλοῦς: διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαι, φασίν, ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ· ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν πλοῦν· ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι καὶ τῶν πλουσίων μόνων ὁ πλοῦς.

○ 925 Οὗπερ: ὅπου. Ἀγαθίας· οἱ συναισθανόμενοι οὗπερ γεγένηντο συμφορᾶς, ἀγεννῆ καὶ αἰσχίστην ἠσπάζοντο σωτηρίαν.

○ 926 Οὐ περπερεύεται: ἀντὶ τοῦ οὐ προπετεῖ. ζήτει ἐν τῷ περπερεία.

○ 927 Οὔπω πεπλήρωνται τῶν Ἀμορραίων αἱ ἁμαρτίαι: ἐπὶ τῶν μὴ ὀξὺ τέλος λαμβανόντων.

○ 928 Οὔπως: οὐδένα τρόπον. καὶ Θουκυδίδης ε′. καὶ Ὅμηρος· ὦ γέρον, οὔ πως ἔγωγε τοῦτο τελέεσθαι ὀΐω.

○ 929 Οὐ πρέπει γαλῇ κροκωτός: παροιμία ἐστὶν ὁμοία τῇ γαλῇ χιτών· ζήτει τὴν αὐτὴν παροιμίαν ἐν τῷ γαλῆ.

○ 930 Οὐραγεῖ: τὸ τέλος ἄγει τοῦ στρατοῦ. καὶ Οὐραγός, ὁ τελευταῖος τοῦ λόχου.

○ 931 Οὐραγίαν: στρατιὰν τὴν ὄπισθεν ἀκολουθοῦσαν.

○ 932 Οὐρανία ἀστραπή: ἀντὶ τοῦ ταχεῖα. ἔπτηξα θυμόν· οὐρανία γὰρ ἀστραπὴ φλέγει πάλιν.

○ 933 Οὐρανία ἄχνη: ἡ δρόσος. θάλλει δ’ οὐρανίας ὑπ’ ἄχνης ὁ καλλίβοτρυς κατ’ ἦμαρ ἀεὶ νάρκισσος.

○ 934 Οὐρανία αἴξ: ᾗ οἱ εὐχόμενοι πάντως ἐπετύγχανον· ἴσως διὰ τὸ τὴν σελήνην αὐτῇ ἐποχεῖσθαι. Κρατῖνος Χείρωσιν· αἲξ οὐρανία. καὶ Οὐρανία τροφή. καὶ τὰς οὐρανίας δυνάμεις.

○ 935 Οὐράνιόν γ’ ὅσον: ἀντὶ τοῦ πολὺ καὶ μέγα. οἱ δὲ ἀνέκραγον οὐράνιον ὅσον.

○ 936

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὐράνιος ὄνομα, Σύρος τὸ γένος, κατὰ τὴν βασιλέως πόλιν ἠλᾶτο, τέχνην ἐπαγγελλόμενος τὴν ἰατρικὴν μετιέναι, τῶν δὲ Ἀριστοτέλους δογμάτων οὐδὲν μὲν ἐς τὸ ἀκριβὲς ἐγίνωσκεν, ἐκομψεύετο δὲ ὡς πλεῖστα εἰδέναι, βρενθυόμενος, τῷ δύσερις εἶναι παρὰ τοὺς ξυλλόγους. πολλάκις γὰρ ἰὼν πρὸ τῆς βασιλείου στοᾶς καὶ ἐν τοῖς τῶν βιβλίων ἥμενος πωλητηρίοις διεπληκτίζετο καὶ ἐμεγαληγόρει πρὸς τοὺς αὐτόθι ἀγειρομένους καὶ ταῦτα δὴ τὰ εἰθισμένα ῥημάτια τοῦ κρείττονος πέρι ἀνακυκλοῦντας, ὁποῖον δή τι αὐτοῖς ἥ τε φύσις ἐστὶ καὶ ἡ οὐσία καὶ τὸ παθητὸν καὶ τὸ ἀξύγχυτον· ὧν οἱ πλεῖστοι οὐδὲ ἐς γραμματιστοῦ οἶμαι φοιτήσαντες, οὐδὲ μὴν βίῳ ἀρίστῳ ἐκδεδιῃτημένοι. οὗτος ὁ Οὐράνιος ἧκέ ποτε παρὰ Πέρσας, ὑπὸ Ἀρεοβίνδου τοῦ πρεσβευτοῦ ἀπηγμένος.

○ 937 Οὐρανίωνες: οἱ Τιτᾶνες οὕτω λέγονται.

○ 938 Οὐρανοβάμονος: τοῦ οὐρανοφοίτου. λύσις ὀνείρου· πόλον βλέπειν θέοντα μυστικὸν τόδε.

○ 939 Οὐρανόμηκες: μέγιστον. κλέος οὐρανόμηκες ἐν βροτοῖς ἕξων. παρὰ τό, ἐπουράνιον κλέος εἴη.

○ 940 Οὐρανός. Οὐρανός ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον. Οὐρανοὶ δύο, ὁ σὺν τῇ γῇ γεγενημένος, καὶ ὁ ὕστερον μέσον τῶν ὑδάτων προσταχθεὶς γενέσθαι· ὃν καὶ στερέωμα προσηγόρευσεν.

○ 941 Οὐρανόθι πρό: ἐν τῷ ὑπὸ τὰ νέφη τόπῳ.

○ 942 Οὐρανοφάντωρ.

○ 943 Οὔρβιος: ὄνομα κύριον. ζήτει ἐν τῷ πραξικοπήσας.

○ 944 Οὐραῖα: τὰ τῆς οὐρᾶς. ἐδειμάτουν αὐτοὺς οἱ δράκοντες, τὰ οὐραῖα μέρη ἐς σπείρας ἑλίξαντες καὶ ἐπανιστάμενοι.

○ 945 Οὔρησας: ἔσωσας, ἔστησας.

○ 946 Οὐρητρίδα: οὐρηρὸν ἀγγεῖον. Ἀριστοφάνης· ἀμὶς μέν, ἣν οὐρητιάσῃς, αὑτηῒ παρά σοι ἠρεμήσεται ἐγγὺς ἐπὶ τοῦ παττάλου.

○ 947 Οὔρια θεῖτε: ὀρχεῖσθε.

○ 948 Οὐρίᾳ ῥιπίδι ἀνήλατο φέψαλος ἐρεθιζόμενος: ἀντὶ τοῦ ἀνέμου φορᾷ τῷ ῥιπιδίῳ ἐξαπτόμενος. πρίνινοι δὲ ἄνθρακες, οἱ στερεοί, οἱ ἰσχυροί.

○ 949 Οὐρίαχος: τὸ ἄκρον τοῦ σιδήρου· ἢ τὸ ὄπισθεν μέρος τοῦ δόρατος, ὃ καὶ σαυρωτὴρ καλεῖται· ἀπὸ τοῦ ὀρούειν καὶ τοῦ ἰάχω· τοῦτο δὲ παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν φωνήν· ἐξ οὗ καὶ ἰαχή.

○ 950 Οὐρίαχος. πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ. ἐν Ἐπιγράμμασι. καὶ αὖθις· ὄφρα κεν ἐξ ὑάλοιο πυρικμήτοιο ταθέντας οὐριάχους δέξαιντο. τὰ οὐραῖα τῶν κανδηλῶν.

○ 951 Οὐριοδρομούσας: ἐπιτηδείῳ ἀνέμῳ πλεούσας.

○ 952 Οὔριος: ἐπιδέξιος, ἐπιτήδειος ἄνεμος. Πολύβιος· λαβὼν δ' οὔριον ἄνεμον καὶ λαμπρόν, ἐκπετάσας πᾶσι τοῖς ἀρμένοις καὶ κατουρώσας ἐπ' αὐτὸ τὸ στόμα τοῦ λιμένος ἐποιεῖτο τὸν πλοῦν, ἔχων καθωπλισμένους ἄνδρας ἐπὶ τῶν καταστρωμάτων. καί, οὐρίῳ πελάσαι δρόμῳ. τουτέστιν εὐθυδρομῆσαι.

○ 953 Οὖρον: φορὸν ἄνεμον. ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον· σοὶ δ' ἐγὼ φράζω, κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.

○ 954 Οὖρος: ὁ τῆς γῆς ὅρος καὶ φύλαξ. παρὰ δὲ Ἡροδότῳ οὖροι οἱ ὅροι, τὰ ὁροθέσια.

○ 955 Οὖρος. καὶ βοὸς οὖρον ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας.

○ 956 Οὐροτομήσαντες: τὰ οὐραῖα κόψαντες. οὐροτομήσαντες πεντήκοντα ἵππους.

○ 957 Οὐρούς: ὀξυτόνως. τὰ νεώρια. καὶ τὰ περιορίσματα τῶν νηῶν.

○ 958

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὖς: τὸ ὠτίον.

959 Οὔσβαις: ὄνομα κύριον. ἐν τοῖς Οὔσβαις τοῦ κινδύνου ἄπο ἐγένετο, ἀποδράσας τὰ ξίφη.

960 Οὓς ἐγὼ βόσκω, καὶ δίκαια κἄδικα: ὁ Κλέων φησὶ πρὸς τοὺς Ἡλιαστάς. τουτέστι πρὸς τοὺς Ἡλιαίας δικαστάς. τὸ βόσκω πικρῶς· ἐπὶ γὰρ τῶν ἀλόγων εἴρηται. δίκαια δὲ κἄδικα, ἀντὶ τοῦ ἐκδικῶν καὶ ἀδικῶν.

961 Οὐσία· τῆς οὐσίας τὴν κλῆσιν καὶ τὴν προσηγορίαν οὐδόλως ἐμφερομένην εὑρίσκομεν ἐν τῇ θείᾳ γραφῇ. ἡ δὲ τῶν πολλῶν συνήθεια κέχρηται τῷ προσρήματι ἐπὶ τῶν σημαινομένων κτήσεων, ὧν τις κέκτηται, οἷον οἰκημάτων, βοσκημάτων καὶ λοιπῶν ὑλῶν. ταῦτα γὰρ οὐσίαν καλοῦσι τοῦ κεκτημένου· καθ' ἣν ἔννοιαν καὶ τὸν ταῦτα κεκτημένον πλούσιον καλοῦμεν· ἀντὶ τοῦ πολυούσιον. καί, περιούσιον λαόν, τὸν ἔγκτητον. καί, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ· ἀντὶ τοῦ κτῆμα καὶ εἰς κτῆσιν. ἡ δὲ λογικὴ χρῆσις τὸ τῆς οὐσίας ὄνομα ἀπὸ τοῦ εἶναι ῥήματος οἶδε παρῆχθαι, αὐτὸ τὸ ὂν πρᾶγμα οὐσίαν καλοῦσα· τὸ γὰρ ὂν κοινὸν ὄνομά ἐστι πάντων τῶν ὄντων. τοῦτο οὖν τὸ ὂν τέμνεται εἰς οὐσίαν καὶ συμβεβηκός. ὁρίζονται δὲ τὴν οὐσίαν οὕτως· οὐσία ἐστὶν ὄνομα κοινὸν καὶ ἀόριστον, κατὰ πασῶν τῶν ὑπ' αὐτὴν ὑποστάσεων ὁμοτίμως φερόμενον καὶ συνωνύμως κατηγορούμενον· ἢ ἡ καθ' ὑποκειμένων ὑποστάσεων λεγομένη καὶ ἐν πάσαις αὐταῖς ὁμοτίμως θεωρουμένη· ἢ πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν· ἤγουν τὸ ἐν ἑαυτῷ ὂν καὶ μὴ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν, ὡς τὸ συμβεβηκός. οὐσία οὖν ἐστιν ἡ ἁπλῶς τῶν ὄντων ὕπαρξις.

962 Οὐσίας δίκη: οὐσίας εἰσάγουσι δίκην πρὸς τοὺς ἑαλωκότας ἐν προτέρᾳ δίκῃ χρέους ἢ καρποῦ· ὥστε ἀπολαμβάνειν αὐτοὺς ἐξ ὅλης τῆς οὐσίας, ἃ κατεδίκασαν.

963 Οὐσίας δίκη· οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας, οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην. ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου, τῶν δὲ χωρῶν καρποῦ, τρίτη δὲ ἐπὶ τούτων ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων, καὶ τὴν δίκην τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου, ἢ καὶ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν κρατεῖν, ἀλλ' ἐξίστασθαι ἤδη τῶν κτημάτων ἔδει τοῖς καταδικασαμένοις.

964 Οὐσία φανερὰ καὶ ἀφανής· Λυσίας ἐν τῷ ὑπὲρ Φερενίκου λέγει· εἰ μὲν γὰρ ἀγροὺς κατέλιπεν Ἀνδροκλείδης ἢ ἄλλην φανερὰν οὐσίαν, ἐξῆν ἂν εἰπεῖν τῷ βουλομένῳ, ὅτι οὐδὲν μὲν ψεύδεται, αὐτῷ δὲ δέδοται· περὶ ἀργυρίου καὶ χρυσίου καὶ ἀφανοῦς οὐσίας δῆλον ὅτι ὅς τις ἔχων αὐτὰ φαίνεται, τούτῳ δέδωκεν.

965 Οὐσιῶσαι· αἰτιατικῇ. Πισίδης· καὶ πάντας ἡμᾶς οὐσιῶσαί σοι θέλεις καὶ τεκνοποιεῖν τῷ θεῷ καθημέραν.

966 Οὐ σταθμητή· ὅτι Ἀλιγέρνης ὁ Γότθος τοσοῦτον ἦν κρατερὸς ταῖς χερσίν, ὡς τὰ τούτου βέλη ἀφιέμενα ῥοίζῳ τε πολλῷ καὶ ταχυτῆτι οὐ σταθμητῇ φέρεσθαι. ζήτει ἐν τῷ Ἀλιγέρνης.

967 Οὐ στήσομαι λέαινα ἐπὶ τυροκνήστιδος· ζήτει ἐν τῷ τυρόκνηστις.

968 Οὐτάσας: πλήξας, τρώσας. ὁ δὲ τῷ δόρατι αὐτὸν οὐτάσας κατέβαλεν. ὅτι βαλεῖν τὸ πόρρωθεν πέμψαι, οὐτάσαι δὲ καὶ νύξαι καὶ τύψαι τὸ ἐκ χειρὸς τρῶσαι.

969 Οὔτε σὺν πανωλέθροισιν, οὐδ' ἄνευ πανωλέθρων: παροιμία. κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται, οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ. καὶ Ἀριστοφάνης· κἄστ' ἐκεῖνο τοὖπος ὀρθῶς κοὐ κακῶς εἰρημένον, οὔτε σὺν πανωλέθροισι, καὶ τὰ ἑξῆς.

970 Οὔτε του: ὥσπερ παρὰ Αἰολεῦσι τὸ ὅτινα κοινόν ἐστι κατὰ γένος, οὕτω καὶ παρὰ Ἀττικοῖς τὸ οὔτε του κοινῶς λέγεται. οὔτε του κλύων σάλπιγγος.

971 Οὐτήτειρα: πληκτική. καί μέ τις οὐτήτειρα παρὰ σφυρὰ διψὰς ἔχιδνα, σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον, ἠελίου χήρωσεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 972 Οὐτιδανός: οὐδενὸς ἄξιος.

○ 973 Οὔτιδες καὶ Σωρῖται: παραλογισμοὶ οὕτω καλούμενοι. καὶ Οὖτις, παρ' Ὁμήρῳ οὐδείς· οὔτις γὰρ ὁ Ὀδυσσεύς. οὔτις ἔσθ' ὃς οὐ τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ ξύναιμον ἀποκαλοῦντες. Ἀττικόν ἐστι τὸ ἐπιφέρειν ἑνικοῖς πληθυντικά, οἷον οὔτις ἀποκαλοῦντες.

○ 974 Οὔτοι: ἀντὶ τοῦ οὐ μήν. Δαβὶδ εἶπεν ὑπὸ κυρίου πειραζόμενος· στενά μοι πάντοθεν τὰ τρία ἐπιτίμια· πλὴν ἐμπεσοῦμαι εἰς χεῖρας κυρίου. καὶ ἐξελέξατο τὸν θάνατον, καὶ ἀπέθανον ἀπὸ πρωΐθεν μέχρι ὥρας ἀρίστου χιλιάδες ο'. καὶ εἶπε Δαβίδ· ἐγώ εἰμι ὁ ποιμὴν ὁ κακοποιήσας, οὗτοι τὰ πρόβατα. ἀντὶ τοῦ οὐδαμῶς.

○ 975 Οὑτοσί: οὗτος ὁ ἄνθρωπος. ἀντὶ ὀνόματος κέχρηται τῷ οὑτοσί, τὸ δὲ ι ἐπέκτασις. Οὕτως δὲ ἐπιρρηματικῶς, καὶ Οὑτωσί, ἀντὶ τοῦ οὕτως. οὕτως ἀνοήτως οὕτως ἐκβαλῶ. ἀντὶ τοῦ ὡς ἔτυχεν, ἐκ τοῦ μηδενός.

○ 976 Οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι: ἀντὶ τοῦ πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν φέροντι· ἢ ποικίλῳ. Ἀριστοφάνης.

○ 977 Οὐ τρέφει μία λόχμη δύο ἐριθάκους: ἐπὶ τῶν ἐκ μικροῦ τινος κερδαίνειν σπουδαζόντων· ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

○ 978 Οὐ φροντὶς Ἱπποκλείδῃ: παροιμία, ἧς μέμνηται Ἕρμιππος ἐν Δημόταις. Ἱπποκλείδης ὁ Τισάνδρου μέλλων γαμεῖν Ἀγαρίστην τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα τοῦ τυράννου ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ ἐπωρχήσατο περιττῶς. μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος, ὅτι ἀπώρχηται τὸν γάμον τὸν Ἀγαρίστης, ὑποτυχὼν ἔφη· οὐ φροντὶς Ἱπποκλείδῃ.

○ 979 Οὐχ ἅλις: οὐ μάταιον.

○ 980 Οὐ χεῖρον: ἀντὶ τοῦ βέλτιον. βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσι φράσω; οὐ χεῖρον.

○ 981 Οὐχ ἥκιστα: μάλιστα, πάνυ, οὐχ ἧττον. καὶ οὖν τῷ τὸν βασιλέα ἐστοχάσθαι εὖ τῶν μελλόντων, οὐχ ἥκιστα ἀπέβη τά οἱ προβουλευθέντα. καὶ αὖθις· καὶ ἄλλον οὐχ ἥκιστα εἰς αὐτοὺς ἀναρτήσαντες ὄχλον.

○ 982 Οὐχὶ Γλαύκου τέχνη: ἐπὶ τῶν εὖ εἰργασμένων, καὶ δυσκατανοήτων.

○ 983 Οὐχὶ μᾶλλον· Ἀριστοφάνης· κλέπτης μὲν οὐχὶ μᾶλλον, εὐτυχὴς δ' ἴσως. παρῳδηται ἐξ Ἀλκήστιδος Εὐριπίδου. ἔχει δ' οὕτως· σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται, σώφρων μὲν οὐχὶ μᾶλλον, εὐτυχὴς δ' ἴσως.

○ 984 Οὐχ ὅσον· ἐφ' ᾧ δὴ ὁ Πάρθος οὐχ ὅσον οὐ κατέπτηξεν, ἀλλὰ καὶ ἀντέγραψέν οἱ τά τε ἄλλα ὑπερφρόνως καὶ αὑτὸν μὲν βασιλέα βασιλέων, ἐκεῖνον δὲ Καίσαρα μόνον ὀνομάσας. καὶ αὖθις· οὐχ ὅσον οὐχ εὗρόν τι συμβατικόν, ἀλλὰ καὶ ἄσπονδον σφίσι τὸν πόλεμον παρεσκεύασαν.

○ 985 Οὐχ ὁσονού: ἀντὶ τοῦ οὐ βραδέως, ἀλλὰ ταχύ· ὡς τὸ μονονού.

○ 986 Οὐ χρή· οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν· μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν· ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν. Ἀριστοφάνης. Αἰσχύλος δὲ λέγει περὶ Ἀλκιβιάδου· μὴ ἀνατρέφειν φρόνημα· ἐὰν δὲ ἀνατρέφῃ, μὴ ἐρεθίζειν, ἀλλὰ τιθασεῦσαι. ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι, ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν μὴ καταδέξασθαι, ἢ καταδεξάμενον τροποφορεῖν. ὁ δὲ Διόνυσος πρὸς τάδε φησί· δυσκρίτως μέν γ' ἔχω, σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς. σοφῶς μὲν ὁ Αἰσχύλος, σαφῶς δὲ ὁ Εὐριπίδης.

○ 987 Οὐχ οἷά τε εἶναι: οὐ δυνατά. ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γενέσθαι, ἐπείπερ οἱ θεοὶ ἀτιμώρητα αὐτὰ περιεῖδον ἐκ σφῶν γενόμενα.

○ 988 Οὐχ οἷόν τ' ἀνέσχοντο τῶν λόγων, ἀλλὰ κατέλευσαν τὸν εἰπόντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

○ 989 Οὐχ οἷον· οὐχ οἷον προσεῖχον αὐτοῖς, ἀλλ' ἁπλῶς οὐδ' ἀκούσειν ἠξίουν. Πολύβιος· οὐχ οἷον οὐ προσεῖχε τοῖς λεγομένοις, ἀλλ' οὐδὲ ἠνείχετο ἀποφαινόμενος ταῦτα.

○ 990 Οὐχ οἷόν τε: οὐ δυνατόν.

○ 991 Οὐχ οἷός τ' εἴμ' ἀποσοβῆσαι τὸν γέλων, ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην: Διονυσιακὸν φόρημα ὁ κροκωτός· ἐφόρει δὲ λεοντῆν ὡς Ἡρακλῆς. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀνομοίων. καὶ αὖθις· οὐχ οἷός τ' ἦν ἐθελοντὴς συνυπακούειν.

○ 992 Οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεθα: ἀντὶ τοῦ ἑαυτοῖς ταῦτα πεποιήκαμεν, λόγος γάρ, πληγέντα ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν εἰπεῖν ἰδόντα τὴν μηχανὴν τοῦ πτερώματος, οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεθα.

○ 993 Οὐχ ὑφίει: οὐκ ἐνεδίδου.

○ 994 Ὄφελες καὶ Ὄφελον: εἴθε, μακάρι, εὐκτικῶς. τὸ δὲ μακάρι τῶν ἀπαιδεύτων εὐκτικὸν ἐπίρρημα· ἀντὶ τοῦ εἴθε καὶ ἀείθε. πλὴν ὅτι ταῦτα μὲν ἀπαρέμφατα προσώπων ἐστί, τὸ δὲ ὄφελον πρόσωπα ἐμφαίνει. ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. ὅτι Ὀφέλλα τοῦ Κυρηναίου δυνάστου πρὸς Ἀγαθοκλέους κατὰ Σικελίαν ἀναιρεθέντος δόλῳ, Λεωνίδης ἐπὶ τῆς Ἑλληνικῆς ἀρχῆς κατέστη ὑπὸ Πτολεμαίου.

○ 995 Ὄφελος· Ἀριστοφάνης· ἄλλας τε γυναῖκας, ὅ τι πέρ ἐστιν ὄφελος ἐν τῇ πόλει. τουτέστιν εὐγενεῖς. καὶ αὖθις· τοῦ δὲ Λιβίου ἀκούειν ὧν τι ὄφελος ἦν καὶ ἐν κάλλει ψυχῆς καὶ ἐν εὐγλωττίᾳ παιδείας.

○ 996 Ὀφέλλωσιν: αὐξήσωσιν.

○ 997 Ὀφέλτιος: ὄνομα κύριον.

○ 998 Ὀφείδιον.

○ 999 Ὀφειλέτης: χρεώστης. Σοφοκλῆς· κάτοισθ' ὡς ἐγὼ θεοῖς οὐδὲν ἀρκεῖν εἰμ' ὀφειλέτης ἔτι. τουτέστιν οὐκέτι ἐν τούτῳ εἰμὶ ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν.

○ 1000 Ὀφειλή: τὸ χρέος. καὶ Ὀφείλημα ὁμοίως.

○ 1001 Ὀφείλω: χρεωστῶ. πρὸς δοτικήν. Ἀριστοφάνης Νεφέλαις· ὁπόσοις ὀφείλω.

○ 1002 Ὄφεις παρείας: τοὺς ἐπηρμένας ἔχοντας τὰς παρειάς. δοκοῦσι δὲ ἤπιοι εἶναι καὶ μὴ ἀδικεῖν ἀνθρώπους· ἐσθίειν δὲ τοὺς ἔχεις καὶ εἶναι τῶν μυστηρίων ἱεροί. καὶ Ὀφείδιον, ὑποκοριστικῶς. λύσις ὀνείρου· ὄφεις πατεῖν τὰ κέντρα τῶν ἐχθρῶν λύει.

○ 1003 Ὀφφικιάλιος: Ῥωμαικὴ λέξις.

○ 1004 Ὀφιόδηκτος: ὁ ὑπὸ ὄφεως δηχθείς.

○ 1005 Ὀφιομάχης: εἶδος ἀκρίδος, μὴ ἔχον πτερά.

○ 1006 Ὀφιόπους γυνή: ἕρπουσα.

○ 1007 Ὄφις· ἀπὸ τοῦ ἰός, ὅϊς ἐν ὑπερθέσει· καὶ πλεονασμῷ τοῦ φ ὄφις. ζήτει ἐν τῷ Ἀργόλαι.

○ 1008 Ὀφθαλμία: ἡ πήρωσις. Ἀριστοφάνης Πλούτῳ· ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας· ἰδίως ὀφθαλμίαν τὴν πήρωσίν φησιν.

○ 1009 Ὀφθαλμιάσαι: φθονῆσαι· ἢ ἐπιθυμητικῶς σχεῖν· ἢ καὶ τοὺς ὀφθαλμοὺς πάσχειν. οἱ δὲ πολλοὶ ὀφθαλμιῶντες ἐπὶ τοῖς χρήμασι παντοδαπὰς ἐπινοίας εἶχον περὶ αὐτοῦ.

○ 1010 Ὀφθαλμὸν ἐπιβάλλειν: τὸ περιέργως θεάσασθαι. οὕτως Ἄλεξις.

○ 1011 Ὀφθαλμός· διαπορεῖ Ἀριστοτέλης, εἰ ἡ αἴσθησις τῶν αἰσθητῶν ἐστιν ἀντιληπτική, αἰσθητὰ δὲ καὶ τὰ αἰσθητήρια δι' ὧν αἰσθανόμεθα, διὰ τί οὐχὶ ἑκάστου τούτων ἡ αἴσθησις ἀντιλαμβάνεται,

καὶ μηδενὸς ἔξωθεν παρόντος. οἷον διὰ τί ὁ ὀφθαλμὸς οὐχ ὁρᾷ ἑαυτὸν συγκείμενος ἐκ τούτων ἅ ἐστιν ὁρατά, λέγω δὴ τῶν στοιχείων· τίς οὖν ἡ λύσις; διότι ἡ αἴσθησις δυνάμει μέν ἐστι τοῦτο ὅπερ ἐστί, πᾶν δὲ τὸ δυνάμει προάγεται εἰς ἐνέργειαν ὑπό τινος ἐνεργείᾳ ὄντος· οὐκοῦν καὶ ἡ αἴσθησις δυνάμει οὖσα προάγεται εἰς ἐνέργειαν ὑπὸ τοῦ αἰσθητοῦ, αἰσθητοῦ δὲ τοῦ ἔξωθεν καὶ ἐνεργείᾳ ὄντος. ἀλλ' εἰ ὑπὸ τοῦ αἰσθητοῦ προάγεται εἰς ἐνέργειαν, αἰσθητὸν δὲ καὶ τὸ αἰσθητήριον, ἐν ᾧ ἡ αἴσθησις, διὰ τί μὴ καὶ ὑπὸ τούτου προάγεται εἰς ἐνέργειαν; ἄλλως τε εἰ μὴ οἵα τέ ἐστιν ἡ αἴσθησις τοῦ οἰκείου αἰσθητηρίου ἀντιλαμβάνεσθαι αἰσθητοῦ γε ὄντος, τί δήποτε τῶν ὑπερβολῶν αὐτοῦ ἀντιλαμβάνεται; τῆς μὲν γὰρ κατὰ φύσιν θερμασίας τῆς ἐν τῷ παντὶ σώματι ἡ ἁπτικὴ αἴσθησις οὐκ ἀντιλαμβάνεται· ἐπειδὰν μέντοι εἰς ἀμετρίαν ἡ ἐν ἡμῖν θερμότης ἐκπέσῃ, ὡς ἐπὶ τῶν πυρετῶν, τὸ τηνικαῦτα αἰσθάνεται ταύτης. καὶ ἡ ὄψις ὁμοίως τοῦ μὲν ὀφθαλμοῦ κατὰ φύσιν ἔχοντος οὐκ ἀντιλαμβάνεται, οἷον ποῖόν ἐστι τὸ τῶν ὑγρῶν, τὸ τῶν χιτώνων χρῶμα· ἐπειδὰν μέντοι παρὰ φύσιν τι πάθῃ, ὡς ἐπὶ τῶν ἰκτεριώντων, τῆς ἐπὶ τῷ ὀφθαλμῷ ὠχριάσεως αἴσθησιν ἴσχει· διὸ οἴονται πάντα ὠχρὰ εἶναι. ὁμοίως καὶ εἰ ἄλλος τις χυμὸς ἐνσκήψει ἐν τῷ κρυσταλλοειδεῖ, καὶ τοῦ χρώματος καὶ τοῦ σχήματος αὐτοῦ ἀντιλαμβάνεται. ὅθεν καὶ ἐν ταῖς ἀρχαῖς τῶν ἐπιχύσεων, πρὶν τελείως κωλυθῇ ἡ ἐνέργεια τῆς κόρης σκεπασθείσης, δοκοῦσιν ὁρᾶν κώνωπας καί τινα τοιαῦτα.

○ 1012 Ὀφθαλμὸς βασιλέως: ἀντὶ τοῦ μέγα δυνάμενος παρὰ βασιλεῖ. οὕτως δὲ ἐκάλουν τοὺς σατράπας, δι' ὧν πάντας ὁ βασιλεὺς ἐπισκοπεῖ· ὡς βασιλέως ὦτα τοὺς ὠτακουστάς, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ.

○ 1013 Ὀφλεῖν: ἀντὶ τοῦ ἡττᾶσθαι ἐν δικαστηρίῳ.

○ 1014 Ὄφλημα: χρεώστημα.

○ 1015 Ὀφλῆσαι: χρεωστῆσαι.

○ 1016 Ὀφλήσειν: καταδικασθῆναι. Ἀριστοφάνης Νεφέλαις. μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων. τοῖς γραψαμένοις καὶ μὴ ἀποδεικνύουσιν ἐπεβάλλετο χρηματικὴ ζημία. καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν ὑπερήμερος γενόμενος, ἐξετίννυε τετραπλοῦν. οἱ δὲ μὴ ἔχοντες ἐκτίσαι καθείργνυντο ἐν τῷ δεσμωτηρίῳ. πολλοὶ δὲ τοῦτο πεπόνθασι, καὶ ὁ τοῦ ῥήτορος Ἀριστογείτονος πατήρ.

○ 1017 Ὄφλησις: χρέος, ὀφειλή.

○ 1018 Ὀφλίσκουσι καὶ Ὄφλουσι: χρεωστοῦσι. καὶ Ὀφλισκάνω.

○ 1019 Ὄφλων: χρεωστῶν. καὶ Ὄφλοι· μὴ διαβάλοι αὐτὸν πρὸς τοὺς Ἀχαιοὺς καὶ κακότητα ὄφλοι. οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὄφλων ἀπέρχομαι. ἐπὶ γερόντων ἐν δίκαις ἀναστρεφομένων.

○ 1020 Ὀφνεί: ὄνομα κύριον.

○ 1021 Ὄφρα: ὅπως, ἢ μέχρι, ἢ ἕως, ἢ ἵνα.

○ 1022 Ὀφρυάζω: ῥῆμα. ὁ δὲ πέμπει τινὰ ὕστερον, ὀφρυάζοντά τε καὶ ἀλαζονείᾳ τινὶ ἀμυθήτῳ ἐχόμενον.

○ 1023 Ὀφρύνιον· Δημοσθένης ἐν τῷ πρὸς Ἀπατούριον. πόλις ἐστὶ τῆς Τρῳάδος.

○ 1024 Ὀφρυόεντες: ὑπερήφανοι.

○ 1025 Ὀφρύος: ὑπερηφανίας.

○ 1026 Ὀφρυόεσσα: ὑψηλή. καὶ ἀπόκρημνος.

○ 1027 Ὀφρῦς ἀνασπῶντες καὶ γνάθους φυσῶντες: ἐπὶ τῶν ἀλαζόνων καὶ ὑπεροπτικῶν.

○ 1028 Ὄχα: ἐξόχως. ἀπὸ τοῦ ἐξέχω, ἔξοχος, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίρρημα ἔξοχα, ἀποβολῇ τῆς ἐξ προθέσεως ὄχα. ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις· ὡς ἐπὶ τοῦ καταιγίς, αἰγίς.

○ 1029 Ὄχανος: τὸ κράτημα τῆς ἀσπίδος. ὄχοις Ἀκεσταίοισιν ἐμβεβὼς πόδα. καὶ Ὀχάνοις, δεσμοῖς.

○ 1030 Ὀχετηγίαν. καὶ Ὀχετηγός, ὑδρηγός.

○ 1031 Ὀχετόκρανα: τὰς λεγομένας ἐκχύσεις τῶν μηχανημάτων· εἰσὶ δὲ αὗται ξύλιναι ἢ κεράτιναι. οἱ δέ φασι τοὺς ὑπονόμους καὶ τοὺς ὑπὸ γῆν ὀχετούς.

○ 1032 Ὄχεα: ἅρματα.

○ 1033 Ὀχέεσθαι: ἐποχεῖσθαι.

○ 1034 Ὄχεσφι: τοῖς ἅρμασιν.

○ 1035 Ὀχετεύει: σαλεύει, μεταφέρει.

○ 1036 Ὀχετός: σωλήν, ἀγωγός, ῥύαξ.

○ 1037 Ὀχεύω. ἔσθιε, πῖν', ὄχευε· ὡς τά γε ἄλλα οὐδενός ἐστιν ἄξια. ἐν ἄλλοις, ὡς τά γε ἄλλα οὐ τούτου ἐστὶν ἄξια, τοῦ τῶν δακτύλων ἀποκροτήματος. τὸ γὰρ ἐφεστὼς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίητο, ὥστ' ἂν ἀποληκοῦν τοῖς δακτύλοις, ἀνεζωσμένον Λυδιστί, μαρμάρεον τὴν ὕλην. Σαρδανάπαλος.

○ 1038 Ὀχεύς: ὁ ἱμὰς τῆς περικεφαλαίας, ᾧ συνέχεται περὶ τὸν τράχηλον τοῦ φοροῦντος. καὶ ὁ συνέχων τὴν περὶ τὸν θώρακα ζώνην ἱμάς.

○ 1039 Ὀχεία: μίξις, συνουσία. καὶ Ὀχεύω, ῥῆμα.

○ 1040 Ὀχεῖον: ἅρμα, δίφρος, ἅμαξα.

○ 1041 Ὀχεῖον: ἀντὶ μὲν τοῦ ὄχημα Δείναρχος ἐχρήσατο. ἐχρήσατο δὲ ὁ αὐτὸς ἀντὶ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον. φησὶ γάρ· ὠνοῦνταί μου τῶν ἵππων ὀχεῖον. Λυκοῦργος δὲ ἐν τῷ Περὶ διοικήσεως γείτονας τοῦ ὀχείου φησί. καὶ μήποτε ἐπὶ τούτου τινὲς ἔλαβον τὴν λέξιν, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦνται.

○ 1042 Ὀχῆες: δεσμοί, μοχλοί.

○ 1043 Ὄχημα: οὐκ ἐπὶ ἅρματος μόνου. Ἀριστοφάνης· οὐκοῦν δικαίως, ὅστις εἰς ὄχημα κανθάρου ἐπιβὰς ἔσωσα τοὺς Ἕλληνας. καὶ αὖθις Ἀριστοφάνης· εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστι καὶ πολλὴ τρυφή, ὅτ' ἐγὼ μὲν υἱὸς ὢν Σταμνίου Διόνυσος βαδίζω καὶ πονῶ· τοῦτον δ' ὀχῶ, ἵνα μὴ ταλαιπωροῖτο, μηδ' ἄχθος φέροι;

○ 1044 Ὀχήσιος: ὄνομα κύριον.

○ 1045 Ὄχθας: τὰ χείλη τοῦ ποταμοῦ.

○ 1046 Ὀχθεῖ: στενάζει.

○ 1047 Ὄχθη: ὁ κρημνός.

○ 1048 Ὀχθήσας: στενάξας.

○ 1049 Ὄχθοβος: τὸ γυναικεῖον λῶμα.

○ 1050 Ὄχθους: ὕψη, ὑψηλοὺς αἰγιαλούς. ὡς δὲ εἰς τὸν ποταμὸν ἀφίκοντο πλησίον, ὑπὲρ ὄχθου τινὸς ἀποτόμου καὶ περιρρῶγος ἐπετείχιζον αὐτοῖς φρούριον.

○ 1051 Ὄχθοι: αἱ τραχεῖαι καὶ δύσβατοι πέτραι, αἱ ἐξοχαί.

○ 1052 Ὀχλεῦντο: ἐκινοῦντο.

○ 1053 Ὀχληρός: ταραχώδης.

○ 1054 Ὄχλησις: ἡ ταραχή.

○ 1055 Ὀχλίζειν: μοχλεύειν, κινεῖν.

○ 1056 Ὄχλος: ἡ ταραχή.

1057 Ὄχλου: ἀγανακτήσεως, ταραχῆς. καὶ τὰ μὲν ἄλλα ἐπείθετο τῷ πατρὶ καὶ ἦν πρὸς τοὺς πυνθανομένους καὶ ὄχλον κινοῦντας εὖ μάλα ἐγκρατὴς καὶ γλώττης ἦρχε. Πολύβιος· ἦν δὲ ὀχλοκόπος ὁ Φλαμίνιος καὶ δημαγωγὸς τέλειος. καὶ αὖθις· οὔτε ἐξετάσαι τὸν ἄνθρωπον οἷόν τε ἦν ἀκριβῶς, ἀσθενείᾳ σώματος ὀχλούμενον, οὔτε ἐρωτᾶν, εὐλαβείᾳ τοῦ ὀχλώδους.

1058 Ὀχλώδης: ὁ ταραχώδης.

1059 Ὀχμάζω: κατέχω.

1060 Ὀχοζίας, βασιλεὺς Ἰουδαίων, ἐν Σαμαρείᾳ ἔχων τὴν δίαιταν πονηρὸς ἦν, κατὰ πάντα ὅμοιος τοῖς γονεῦσιν ἀμφοτέροις καὶ Ἱεροβοὰμ τῷ πρώτῳ παρανομήσαντι καὶ τὸν λαὸν ἀπατᾶν ἀρξαμένῳ.

1061 Ὄχος: τὸ ἅρμα. καὶ τοῦ ὕδατος ἡ ὁρμή. ἐξ οὗ καὶ ὀχετός. ἡ δοτικὴ τῷ ὄχει.

1062 Ὀχοῦμαι· γενικῇ.

1063 Ὀχῶν: ὀχευτικῶς ἔχων.

1064 Ὄχοις· Σοφοκλῆς· μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις.

1065 Ὀχυρός: ὁ ἰσχυρός.

1066 Ὀχύρωμα: ἡ κλεισοῦρα παρὰ Ῥωμαίοις.

1067 Ὀχυρώτερος: στερεώτερος.

1068 Ὄψ: ἡ φωνὴ διὰ τοῦ ο μικροῦ. καὶ κλίνεται ὀπός.

1069 Ὄψα.

1070 Ὀψάριον: τὸ ἰχθύδιον.

1071 Ὀψαρτύτης: μάγειρος. ζήτει ἐν τῷ δαιτρός.

1072 Ὀψαρτυτική: μαγειρική. ὅτι Ἀρτεμίδωρος ὁ Ψευδοαριστοφάνειος συνῆξεν ὀψαρτυτικὰς λέξεις.

1073 Ὀψέ: βραδέως.

1074 Ὀψείοντες: ὀπτικῶς ἔχοντες, ἰδεῖν βουλόμενοι.

1075 Ὀψ’ ἦλθες· ἀλλ’ ἐς Κολωνὸν ἵεσο: ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν, καὶ ἐπὶ τῶν μισθαρνούντων.

1076 Ὀψιγενής: βραδέως γεννηθείς.

1077 Ὀψία: ἡ βραδεία.

1078 Ὀψιγόνων: τῶν ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐσομένων.

1079 Ὀψιμαθής· ἦν δὲ ὁ Σουπηριανὸς ὀψιμαθὴς μὲν ἱκανῶς, τὴν δὲ φύσιν ὑπονωθέστερος, λ′ ἐτῶν ἀρξάμενος ἀναγινώσκειν τὰ τῶν ῥητόρων βιβλία.

1080 Ὄψιμον: τὸ βραδέως γινόμενον.

1081 Ὀψινόν: πρὸς ὀψέ.

1082 Ὄψις: ὅρασις. καὶ ἡ θεωρία. τὰ μὲν οὖν πρὸ τῆς πόλεως ἀργύρῳ καὶ χρυσῷ περιελάμπετο, καὶ τῆς ὄψεως ἐκείνης οὐδὲν οὔτε τοῖς σφετέροις ἐπιτερπέστερον οὔτε τοῖς πολεμίοις παρέστη φοβερώτερον. ὅτι ἡ ὄψις τῶν δώδεκα χρωμάτων ἐστὶ κριτική, λευκοῦ καὶ μέλανος καὶ τῶν μεταξύ, ξανθοῦ καὶ φαιοῦ, ὠχροῦ, ἐρυθροῦ, κυανοῦ, ἁλουργοῦ, λαμπροῦ, ὀρφνίου. ἡ δὲ ἀκοὴ κριτική ἐστιν ὀξέος καὶ βαρέος φθόγγου, ἡ δὲ ὄσφρησις κριτικὴ εὐωδῶν καὶ δυσωδῶν ὀσμῶν καὶ τῶν μεταξύ, σηπομένων τε καὶ βρεχομένων ἢ τηκομένων ἢ θυμιωμένων. ἡ δὲ γεῦσις κριτικὴ γλυκέων τε καὶ πικρῶν χυμῶν καὶ τῶν μεταξὺ ε′· ἑπτὰ γάρ εἰσι χυμοί, γλυκύς, πικρός, ὀξύς, δριμύς, στυφύς, σομφός, ἁλυκός, στρυφνός. ἡ δὲ ἁφὴ πλειόνων ἐστὶ κριτική· βαρέων, κούφων καὶ τῶν μεταξύ· τραχέων καὶ λείων καὶ τῶν μεταξύ· ξηρῶν καὶ ὑγρῶν. καὶ αἱ μὲν δ′

αἰσθήσεις ἐν τῇ κεφαλῇ εἰσι καὶ ἰδιάζουσιν καὶ περικλείονται ὀργάνοις, ἡ δὲ ἁφὴ καὶ διὰ τῆς κεφαλῆς καὶ διὰ τοῦ σώματος κεχώρηκε καί ἐστι κοινὴ πάσης αἰσθήσεως. ζήτει ἐν τῷ αἰσθήσεις.

ο 1083 Ὀψισθέντα: ὀψὲ τῆς ὥρας ἐλθόντα. ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδοκεύς, ὁ ὑποδεξάμενος ὀψισθέντα.

ο 1084 Ὀψιτέλεστον: βραδέως τελειούμενον.

ο 1085 Ὀψόβαφα· ζήτει ἐν τῷ ἁρμονίαν.

ο 1086 Ὀψοδεΐα: ἡ ἔνδεια τῶν ὄψων. Ὀψοδεία δέ.

ο 1087 Ὄψον: πᾶν προσόψημα, ἢ προσφάγιον.

ο 1088 Ὀψοποιουμένοις: ὄψα ὠνουμένοις. ἔναγχος οὖν ποιμέσι τισὶν ὀψοποιουμένοις ἰχθῦς ἀπεδόμην.

ο 1089 Ὀψοπώλιον· ζήτει ἐν τῷ Αὐγουστεῖον.

ο 1090 Ὄψος: μοχθηρός.

ο 1091 Ὀψοφαγία· καὶ Ὀψοφάγος, λαίμαργος, ὄψα ἐσθίων. Φιλόξενος ὁ Λευκαδίου ἐγένετο ὀψοφάγος, ἀφ’ οὗ καὶ οἱ Φιλοξένειοι πλακοῦντες. ἐπὶ τοσοῦτον δὲ ἦν ὀψοφάγος ὁ Φιλόξενος, ὥστε φανερῶς ἐν τοῖς βαλανείοις τὴν χεῖρα συνεθίζειν προσκαθιέντα ἐς ὕδωρ θερμὸν καὶ τὸ στόμα ἀναγαργαριζόμενον θερμῷ ὕδατι, ὅπως ἐν τοῖς θερμοῖς δυσκίνητος ᾖ. καὶ τοὺς ὀψοποιοῦντας ὑπεποιεῖτο, ἵνα θερμότατα παρατιθῶσι. παραπλήσια δὲ ἱστοροῦσι καὶ περὶ Ἀρχύτου. καὶ Κρώβυλός φησιν· ἐγὼ πρὸς τὰ θερμὰ ταῦθ’ ὑπερβολῇ τοὺς δακτύλους δήπουθεν Ἰδαίους ἔχω (ἀντὶ τοῦ ψυχρούς), καὶ τὸν φάρυγγ’ ἥδιστα πυριῶ τεμαχίοις.

ο 1092 Ὀψώνια: κέρδη, χαρίσματα. ὁ Ἀπόστολος· τὰ γὰρ ὀψώνια τῆς σαρκὸς θάνατος.

ο 1093 Ὀψώνιον: παρὰ τῇ θείᾳ γραφῇ ἡ ἀφωρισμένη τροφή.

οι 1 Οἷ: τοπικὸν ἐπίρρημα, ἀντὶ τοῦ ὅπου. ὦ δύστηνος, οἷ πεπλώκαμεν; Ἀριστοφάνης. ἔφευγον δὲ οἷ ἐδύνατο ἕκαστος. καὶ αὖθις· ἐμοὶ δὲ βαδιστέα, οἷ σοφία καὶ δαίμων με ἄγει. ἀλλ’ οὖν ἐπίστω γ’, οἷ μ’ ἀτιμίας ἄγεις.

οι 2 Οἷ: ἀντὶ τοῦ ὅπου. ζηλῶ γε τῆς εὐτυχίας τὸν πρεσβύτην, οἷ μετέστη ξηρῶν τρόπων καὶ βιοτῆς. καὶ αὖθις· ὁ δὲ ὁρῶν, οἷ κακοῦ εἴη, ἐπὶ τὸν τάφον τοῦ γειναμένου καταφεύγει.

οι 3 Οἷ: περισπωμένως ἀντὶ τοῦ ἑαυτῷ, ὀξυτόνως δὲ τὸ οὗτοι. Συμπόσιον· οἷ μὲν γὰρ εὐθὺς παῖδά τινα τῶν ἔνδον ἀπαντήσαντα. καὶ οὗ, ἀντὶ τοῦ αὐτοῦ. Πολιτείας· πλὴν οὗ. Ἀππιανός· ἐπεὶ δὲ ἦν οἱ τὸ κακὸν τέχνης κρεῖττον καὶ μέντοι καὶ ἐπικουρίας τῆς ἐκ θνητῶν συμμάχων δυνατώτερον.

οι 4 Οἱ: ἀντὶ τοῦ αὐτῷ δασύνεται. τὴν κεφαλὴν Πομπηΐου κομισθεῖσάν οἱ.

οι 5 Οἵα: μακρὸν τὸ α. οἵα κατέσχε τὸν τρισάθλιον δόμον. καὶ Οἵαν θηλυκῶς, ἀντὶ τοῦ δυνατήν. Ἀριστοφάνης· τὴν μὲν ἑτέραν γνάθον στομώσεις, οἵαν δικιδίοις· τὴν δὲ ἑτέραν οἵαν ἐς τὰ μείζω πράγματα. τουτέστι τὰ ἄδικα.

οι 6 Οἴαγρος.

οι 7 Οἴακες: πηδάλια, αὐχένες.

οι 8 Οἰακίζει: κυβερνᾷ.

οι 9 Οἰάκιον τῆς νηός.

οι 10 Οἰακιστής: κυβερνήτης.

οι 11 Οἰακληεῖς.

οι 12 Οἰακοστρόφος: κυβερνήτης.

οι 13 Οἰακοστροφῶν: κυβερνῶν.

οι 14 Οἴαξ, οἴακος.

οι 15 Οἰαξίς: χώρα.

οι 16 Οἴαροι: γυναῖκες.

οι 17 Οἰασοῦν.

οι 18 Οἰάτειον κρέας: τὸ προβάτειον.

οι 19 Οἰβάδης, Οἰβάδου: ὄνομα κύριον.

οι 20 Οἰβώνιον: ὄνομα τόπου.

οι 21 Οἰγνύει: ἀνοίγει.

οι 22 Οἶδα· αἰτιατικῇ.

οι 23 Οἴδακες: οἱ λεγόμενοι φήληκες, καὶ πάντα τὰ μὴ πέπειρα ἀκρόδρυα.

οι 24 Οἰδαλέον: τὸ ὑγρόν.

οι 25 Οἰδάνει: αὐξάνει.

οι 26 Οἶδα Σίμωνα καὶ Σίμων ἐμέ: ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων.

οι 27 Οἰδαίνει: οἰδεῖν ποιεῖ.

οι 28 Οἰδαίνων· αἰτιατικῇ. φλεγμαίνων, ψύχων.

οι 29 Οἴδε: ἡμεῖς.

οι 30 Οἰδεῖ: φλεγμαίνει, πεφύσηται.

οι 31 Οἴδημα: ὄγκωμα, φλεγμονή, ἀπόστημα. ὡς ἐκ μεταφορᾶς τῶν σωμάτων, καὶ ἐπὶ τῆς ἐπάρσεως καὶ φυσιώσεως λέγεται. τῆς δὲ εἰς οἴδημα ἀρθείσης φρονήματος, καὶ παρὰ τῶν ἐπισκόπων προσκυνουμένης. συνέβη δὲ τὸν πόδα αὐτοῦ εἰς οἴδημα ἀρθῆναι καὶ φλεγμήναντα σφακελίσαι.

οι 32 Οἰδήματα: ἐπάρματα. ἢ φυσήματα. λόγοις ἐχέφροσι κατηύναζεν ὁ στρατηγὸς τὰ τοῦ στρατιωτικοῦ θράσους οἰδήματα.

οι 33 Οἴδησις: φλεγμονή, φύσημα.

οι 34 Οἰδίπους· Λάϊος, ὁ Θηβῶν βασιλεύς, ἔσχε γυναῖκα Ἰοκάστην, ἐξ ἧς γέγονεν αὐτῷ παῖς Οἰδίπους. τούτου γεννηθέντος, χρησμὸν ἔλαβεν ὁ πατήρ, ὅτι τῇ ἰδίᾳ αὐτοῦ μητρὶ μιγήσεται ὁ παῖς· καὶ κελεύει αὐτὸν εἰς ὄρος ῥιφῆναι καὶ ξύλῳ περικλεισθῆναι τοὺς πόδας αὐτοῦ· ὃν εὑρηκὼς γεωργὸς ὀνόματι Μελίβοιος ἀνεθρέψατο καὶ Οἰδίποδα ὠνόμασε διὰ τὸ ὠγκωμένους ἔχειν τοὺς πόδας ὑπὸ τοῦ ξύλου, τοῦ καλουμένου κούσπου. γεγονὼς δὲ ἀνδρεῖος ἐλῄστευε· καθ’ ὃν χρόνον καὶ ἡ λεγομένη Σφὶγξ ἀνεφάνη, γυνὴ δυσειδὴς καὶ θηριώδης τὴν φύσιν, ἀποβαλοῦσα γὰρ τὸν ἄνδρα καὶ συναγαγοῦσα χεῖρα καὶ τόπον καταλαβοῦσα δύσβατον τοὺς παριόντας ἐφόνευεν. ὁ οὖν Οἰδίπους δεινόν τι βουλευσάμενος δίδωσιν ἑαυτὸν μετ’ αὐτῆς λῃστεύειν· καὶ ἐπιτηρήσας καιρὸν ὃν ἠβούλετο, λόγχῃ ἀναιρεῖ αὐτὴν καὶ τοὺς μετ’ αὐτῆς. οἱ δὲ Θηβαῖοι θαυμάσαντες ἀναβοῶσιν αὐτὸν βασιλέα. ὁ γοῦν Λάϊος ἀγανακτήσας κατ’ αὐτῶν τούτοις ἐπάγει πόλεμον καὶ λίθῳ βληθεὶς τὴν κεφαλὴν τελευτᾷ. ἡ δὲ Ἰοκάστη φοβουμένη τῆς βασιλείας ἐκπεσεῖν ἄγει τὸν Οἰδίποδα καὶ χειροτονεῖ βασιλέα· καὶ γίνεται τούτου γυνή, ἀγνοοῦσα ὅτι μήτηρ αὐτοῦ ἐστιν. ἔσχε δὲ ἀπ’ αὐτοῦ υἱοὺς δύο, Ἐτεοκλέα καὶ Πολυνείκη· ὕστερον δὲ τοῦτο μαθοῦσα, ὅτι υἱὸς αὐτῆς ἐστιν, εἶπεν αὐτὸ τῷ παιδί. ὁ δὲ ἀκούσας ἔλαβεν ἥλους καὶ πήξας τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐτελεύτα, ἐάσας τὴν βασιλείαν τοῖς δύο υἱέσιν, οἳ ἐβασίλευον παρ’ ἐνιαυτόν· καὶ εἰς ἔχθραν ἐλθόντες ἐπολέμησαν ἀλλήλοις, καὶ ἐδιώχθη ὑπὸ Ἐτεοκλέους καὶ ἀπελθὼν Πολυνείκης εἰς τὸ Ἄργος ἔγημε τοῦ βασιλέως Ἀδράστου τὴν θυγατέρα καὶ στρατεύσας ἦλθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τὰς Θήβας καὶ μονομαχήσας Ἐτεοκλεῖ ἀναιρεῖ αὐτὸν καὶ αὐτὸς ἀνῃρέθη ὑπ' αὐτοῦ· οἱ δὲ σύμμαχοι ἀνεστράφησαν οἴκοι.

οι 35 Οἶδμα: κῦμα, ἢ πέλαγος. καὶ ἄγριον οἶδμα θαλάσσης.

οι 36 Οἴδνα: οἰδήματά τινα ὄντα τῆς γῆς.

οι 37 Οἰδοῦσαν: κομπώδη οὖσαν. τὴν τέχνην. οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν. καὶ Εὐνάπιος· τοσούτου δὲ οἰδοῦντος καὶ ὑποφυομένου κακοῦ. ὁ δὲ ἐκ τῆς ἰθείης οὐκ ἐδόκεε πέμπειν τὸν στρατόν, ἅτε τῶν πραγμάτων ἔτι οἰδούντων.

οι 38 Οἶδ', οἶδα τὸν νοῦν· παῦε, παῦε τοῦ λόγου. κἂν εἴ με τύπτῃς, οὐκ ἀντείποιμί σοι.

οι 39 Οἵ ἑ: οἵτινες αὐτόν.

οι 40 Οἰέας.

οι 41 Οἴεσθαι: ὑπονοεῖν.

οι 42 Οἰέτεας: ὁμήλικας. Ὅμηρος· ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας.

οι 43 Οἴει: ὑπολαμβάνεις.

οι 44 Οἰῆθεν: δῆμος Πανδιονίδος ἡ Οἴη. καὶ τὸ Οἰῆθεν, τοπικὸν ἐπίρρημα. Φιλόχορός τε τὴν Οἴην φησὶ Κεφάλου μὲν θυγατέρα εἶναι, Χαρόπου δὲ γυναῖκα.

οι 45 Οἰηθείς: ὑπολαβών.

οι 46 Οἰήϊον: πηδάλιον.

οι 47 Οἰηματίας: ἐπηρμένος.

οι 48 Οἴησις: ἔπαρμα, ὑπόνοια. καὶ Οἴημα, ὁμοίως.

οι 49 Οἴκαδε: εἰς τὰ οἰκεῖα.

οι 50 Οἰκέως.

οι 51 Οἴκημα: ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης. ἀπ' εὐθείας τῆς οἰκεύς, ἤγουν οἰκέτης.

οι 52 Οἰκέται: οὐ μόνον οἱ θεράποντες, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν οἰκίαν. Ἀριστοφάνης Νεφέλαις· οἱ δ' οἰκέται ῥέγχουσιν.

οι 53 Οἰκετία. ἐν ταύτῃ τῇ πόλει τὰς τῶν Γετῶν ἐπιφανεστάτας οἰκετίας ἠθροῖσθαι ἔφασκον.

οι 54 Οἰκεύς: οἰκέτης, τοῦ αὐτοῦ οἴκου. Σοφοκλῆς· οἰκεύς τις, ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος.

οι 55 Οἰκεῖος καὶ Οἰκειακός.

οι 56 Οἰκείως: ὁμοίως. Πολύβιος· οἰκείως δὲ ταῦτα συνέβαινε γίνεσθαι καὶ παρὰ Καρχηδονίοις.

οι 57 Οἰκειοῦμαι· δοτικῇ· αἰτιατικῇ δέ· οἰκειοῦται τὴν τοῦ βασιλέως ἁπλότητα.

οι 58 Οἰκεῖλαι: ἐκβληθῆναι.

οι 59 Οἰκῆας: οἰκέτας.

οι 60 Οἰκήματα: τὰ χαμαιτυπεῖα. καὶ ταῖς ἐπὶ τῶν οἰκημάτων ἑστώσαις ἀκωλύτως συνιέναι διεκελεύοντο.

οι 61 Οἰκητής: ὁ οἰκῶν. ἐμοῦ δὲ μήποτ' ἀξιωθήτω τόδε, πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν.

οι 62 Οἰκία: τὸ ὁσπήτιον. καὶ Οἰκίδιον, τὸ οἴκημα. καὶ Οἰκίον, τὸ μικρὸν οἴκημα. οἰκίον εὖτε δέδοιμι. ἀντὶ τοῦ οἰκοδομοίην.

οι 63 Οἰκίσκῳ: ἀντὶ τοῦ μικρῷ τινι οἴκῳ. Δημοσθένης ἐν τῷ περὶ Κτησιφῶντος. ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνίθων τροφεῖον οἰκίσκον.

οι 64

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οἰκογενής: ὁ κάττης, ὁ ἐν οἴκῳ γεννηθείς. οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικα φαγοῦσα ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις.

ο ι 65 Οἰκογενής: δοῦλος. Κανθάρου τινὸς οἰκογενής, ὃς μαστιγῶσαι ἑαυτὸν κελεύσας, ηὐτομόλησεν, ὡς ὑβρισμένος ὑπὸ τῶν δεσποτῶν.

ο ι 66 Οἰκοδομή· ὅτι τὸ οἰκοδομεῖν καὶ ἵππους τρέφειν δοκεῖ δαπανηρὰ εἶναι, ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρᾳ. ἔστι δὲ αὕτη· οἰκοδομά σε λάβοι καὶ ἀμβολά, ὁ δὲ ἵππος καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι. ὡς τούτων πάντων δαπανηρῶν ὄντων καὶ ἐπιζημίων.

ο ι 67 Οἴκοθι: ἐπὶ τῆς οἰκίας. καὶ παροιμία· Οἴκοθεν. ὁ μάρτυς. ἐπὶ τῶν μετὰ τὸ ψεῦδος εἰπεῖν ὁμολογούντων τὴν ἀλήθειαν.

ο ι 68 Οἰκοδομήματα Ἀσσύρια καὶ δαπανηρὰς λειτουργίας χαίρειν ἐάσαντας. χρὴ τοὺς ἄρχοντας ἄρχειν· ψεκτέος γὰρ ὁ ἄρχων ὁ χαίρων οἰκοδομήμασιν εὐπρεπέσιν.

ο ι 69 Οἰκοδομία: οἱ Ἀττικοὶ ὀξυτόνως αὐτὸ ἀναγινώσκουσιν. οἰκοδομὴ δὲ οὐκ εἴρηται.

ο ι 70 Οἰκοδομῶ· αἰτιατικῇ.

ο ι 71 Οἰκονομία· ὅτι ἡ τοῦ θεοῦ πρόνοια κατὰ τρεῖς τρόπους γίνεται· κατ’ οἰκονομίαν, κατ’ εὐδοκίαν, κατὰ συγχώρησιν. ὅτι τὸν οἰκονομικόν τινες εἰς τὸν ἀνελεύθερον μεταλαμβάνουσιν. καὶ ζήτει ἐν τῷ ἐγκράτεια.

ο ι 72 Οἰκονομῶ· αἰτιατικῇ. τὰ ἐν οἴκῳ διοικῶ. Ἠλέκτρα φησίν· ἀλλ’ ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη βίοτος ἀνέλπιστος, οὐδ’ ἔτ’ ἀρκῶ, ἥτις ἄνευ τοκέων κατατήκομαι· ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται· ἀλλ’ ἅπερ εἴ τις ἔποικος, ἀνάξια οἰκονομῶ δόμους πατρός. Ἠλέκτρα φησί, τὸ πλεῖστον τοῦ βίου ἐβίωσα ἐν κακοῖς· καὶ ὁ πλείων με, φησί, βίος ἀπολέλοιπε, μηδέποτε ἐν ἀγαθῇ ἐλπίδι γενομένην· ἐπεὶ μέχρι νῦν οὐδὲν ὑπὲρ ἐκδικίας τοῦ Ἀγαμέμνονος πέπρακται· ἧς φίλος οὐδεὶς προΐσταται, ἀλλὰ πάντες εἰσὶν ἐν ἀτυχήμασιν εὐλαβούμενοι· ἢ ἐκεῖνο· ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

ο ι 73 Οἰκονομῶν: ἀντὶ τοῦ ἐνδιαιτώμενος τοὺς πατρῴους οἴκους. οἷά τις ἔποικος ἀνάξια οἰκονομῶ δόμους πατρός. καὶ Οἰκονομία, ὁ διαμερισμὸς τινῶν πραγμάτων. καὶ οἱ ποιηταὶ χρῶνται οἰκονομίᾳ, τουτέστι τῷ τῶν προσώπων διαμερισμῷ.

ο ι 74 Οἰκόπεδον: ἔρημον κατάπτωμα οἴκου. γήπεδον, τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον.

ο ι 75 Οἰκοπορεῖα: τὰ κατ’ οἰκίαν σκεύη.

ο ι 76 Οἰκοποιός· Σοφοκλῆς· οὐδ’ ἔνδον οἰκοποιός ἐστί τις τροφή.

ο ι 77 Οἰκόσιτος: ὁ ἑαυτὸν τρέφων μισθωτός.

ο ι 78 Οἰκοσκοπικόν· ζήτει ἐν τῷ οἰωνιστική.

ο ι 79 Οἰκότριψ: οἰκέτης, οἰκογενὴς δοῦλος. Ἀγαθίας· εἵπετο δὲ καὶ τῶν οἰκοτρίβων ὀπαδῶν ὁ πρωτοστάτης, καὶ ὅσον ἄλλο οἰκετικόν, καὶ ὅσοι τομίαι κατευναστῆρες.

ο ι 80 Οἰκουρός: οἰκονομικός, ἢ οἰκοφύλαξ. οὖρος γὰρ ὁ φύλαξ.

ο ι 81 Οἰκῶ· αἰτιατικῇ.

ο ι 82 Οἰκωφελία.

ο ι 83 Οἱ Κρῆτες τὴν θυσίαν: παροιμία. εἴ ποτε ταραχώδης θυσία γένηται, Κρητικὴ καλεῖται, παρόσον Ἀγαμέμνων ἐκεῖσε χειμασθεὶς ἔθυεν, ἀναβὰς εἰς τὸ Πολύρρηνον. ἐν τούτῳ δὲ οἱ αἰχμάλωτοι τὰς ναῦς ἐνέπρησαν. ὁ δ’ ὡς ἤκουσε, καταλιπὼν τὰς θυσίας ἦλθεν εἰς τὸν αἰγιαλὸν καὶ μίαν εὑρὼν ναῦν ἀνήχθη εἰς αὐτήν, τοὺς ἐγχωρίους ἐπαρασάμενος.

ο ι 84 Οἰκτείρω· αἰτιατικῇ. Οἰκτίζω δέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οι 85 Οἰκτίρμονος.

οι 86 Οἴκτιστον: ἐλεεινόν.

οι 87 Οἰκτισάμενος: ἀντὶ τοῦ ἐλεήσας.

οι 88 Οἶκτος: ἔλεος. οἶκτος δὲ Νύμφας εἶλεν, αἵ τ' ἐρινόμου Αἴτνης παρωρείῃσιν Εὐμέθου πατρὸς ἔχουσι δινήεντος ὑγρὸν οἰκίον.

οι 89 Οἰκτρός: ταπεινός, ἐλέους ἄξιος. εἰ μὲν ὅτι βασιλεὺς ἀνθρώποις οἰκτροῖς καὶ ἀτιμοτάτοις ταῦτα ἐπικαλεῖ, σκοπήσειεν ἄν τις, ἀνάγκη μηδ' ἀντιλέγοντα τοῖς εἰρημένοις ὁμολογεῖν.

οι 90 Οἰκτρῶς: ἐλεεινῶς. νήπιος, ὃς τῶν οἰκτρῶς οἰχομένων γονέων ἐπιλάθεται.

οι 91 Οἴκοι: ἐν τῷ οἴκῳ. καὶ παροιμία· Οἴκοι τὰ Μιλήσια. ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων· Ἀρισταγόρας γὰρ ὁ Μιλήσιος ἐλθών ποτε εἰς Λακεδαίμονα ἠξίου βοηθεῖν τοῖς Ἴωσι πολεμουμένοις ὑπὸ Περσῶν. ἐδημηγόρει δὲ ἐσθῆτα ἔχων πολυτελῆ καὶ τὴν ἄλλην τρυφὴν τὴν Ἰωνικήν. εἶπεν οὖν τις πρὸς αὐτὸν τῶν Ἐφόρων· οἴκοι τὰ Μιλήσια.

οι 92 Οἴκοι γενοίμην: ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

οι 93 Οἶμαι: οἴομαι, ὑπολαμβάνω.

οι 94 Οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσίν, οἱ δ' ὄντες κακοί: ἐπὶ τῶν διὰ σπάνιν ἐπιζητουμένων. Ἀριστοφάνης Βατράχοις εἰσάγει τὸν Διόνυσον Εὐριπίδην εἰς ᾅδου ἐπιζητοῦντα κατιέναι βούλεσθαι, λέγοντα, δέομαι ποιητοῦ δεξιοῦ· τὸν δὲ φάναι, οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσίν, οἱ δ' ὄντες κακοί.

οι 95 Οἴμη: ὁδός.

οι 96 Οἴμησεν: ὥρμησε. καὶ οἴματα, ὁρμήματα.

οι 97 Οἶμος: ὁδός· ἢ στίχος· ἢ ῥάβδος κύκλου. ἔνθεν καὶ παροιμία κέκληται, τὸ παροδικὸν διήγημα. ἔργον Ἀλεξάνδροιο Μακηδόνος, οἵ ποτ' ἄνακτι Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα.

οι 98 Οἰμωγή: στεναγμός. καὶ Οἰμώζει, στενάζει. καὶ Οἰμώξεται, τιμωρηθῆναι ὀφείλει.

οι 99 Οἰμώζω.

οι 100 Οἶμοι: οἱ ῥάβδοι.

οι 101 Οἴμοι: σχετλιαστικόν. Σοφοκλῆς· οἴμοι, τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον, ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι· τὸ γὰρ φανθὲν τίς ἂν δύναιτ' ἀγένητον ποιεῖν; καὶ Ἀριστοφάνης· οἴμοι κακόδαιμον· τί γὰρ ἔγωγ' οὐκ ἐναυμάχουν τῷ προτέρῳ ἔτει. ἐπὶ τῶν ἐλευθερίας τυχεῖν ἐφιεμένων· περὶ γὰρ Ἀργινούσας ἐνίκων ναυμαχίᾳ οἱ Ἀθηναῖοι, συμμαχίᾳ τῶν δούλων, προκακωθέντες ἄλλαις ναυμαχίαις· οὕς τινας ἠλευθέρωσαν. πρὸς τοῦτο οὖν φησι χαριεντιζόμενος· εἴπερ ἐνεναυμαχήκειν, κἂν ἀφείμην ἐλεύθερος. καὶ Εὐριπίδης ἐκ τοῦ Βελλεροφόντου· οἴμοι. τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν. οἴμοι, τῷ μὲν νοσοῦντι θυμοῦσθαι κακόν. τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα, τίς ποτ' ἂν φέροι;

οι 102 Οἴμοι κύλικος ἴσον ἴσῳ κεκραμένης: τοῦτό φησιν ὁ Ἑρμῆς· τούτῳ γὰρ μόνῳ κεκραμένην σπονδὴν ἔθυον, διότι, ὥς φασι, καὶ ζώντων καὶ τετελευτηκότων ἄρχει, παρ' ἀμφοτέρων τὰς τιμὰς δέχεται.

οι 103 Οἶν: Ἀττικοὶ ἀντὶ τοῦ ὄϊν.

οι 104 Οἰνάνθη: ἡ πρώτη ἔκφυσις τῆς ἀμπέλου.

οι 105 Οἴναρα: τὰ τῆς ἀμπέλου φύλλα. Δήμητρι ταύρων ὄχλον ἀγρότης θύσας, ἅλω πλατεῖαν οἰνάραις ὑπεστρώκει.

οι 106 Οἴνας: οὕτω καλοῦσιν Ἴωνες τοὺς κύβους, ἔνθεν καὶ ἡ παροιμία· ἢ τρὶς ἓξ ἢ τρεῖς οἴνας.

οι 107 Οἰνάς: εἶδος ὄρνιθος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οι 108 Οἰναῖοι τὴν χαράδραν: ἐπὶ τῶν ἐπ’ ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ· τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιρραγὲν ὕδωρ πολὺ κατέκλυσε πάντα.

οι 109 Οἰνεῶνος.

οι 110 Οἰνεύς, Οἰνέως: ὄνομα κύριον.

οι 111 Οἰνειάδης.

οι 112 Οἰνειάδες: ὄνομα ἔθνους.

οι 113 Οἰνειάς: πόλις.

οι 114 Οἰνείδης: πατρωνυμικόν. καὶ Οἰνείδαο.

οι 115 Οἴνη: ἡ ἄμπελος.

οι 116 Οἰνηῒς φυλή: ἡ τοῦ Οἰνέως.

οι 117 Οἰνήρυσις: ἡ τοῦ οἴνου κοτύλη, ᾗ ἀρύονται. Ἀριστοφάνης· φέρε τὴν οἰνήρυσιν, ἵν’ οἶνον ἐγχέω.

οι 118 Οἰνίζω: οἶνον ἀγοράζω. καὶ Οἰνισάμενοι, οἶνον ἀγοράσαντες.

οι 119 Οἰνίης: μία τῶν ι′ φυλῶν παρ’ Ἀθηναίοις.

οι 120 Οἰνοβαρές: μέθυσε.

οι 121 Οἰνόη τὴν χαράδραν: ὅταν καθ’ ἑαυτοῦ τίς τι ποιῇ· ἡ γὰρ Οἰνόη δῆμός ἐστι τῆς Ἀττικῆς· οἵτινες φερομένην ὑπὲρ αὐτῶν χαράδραν παρέτρεψαν εἰς τὴν ἑαυτῶν χώραν. πολλὴ δὲ ἡ χαράδρα γενομένη ἐλυμήνατο αὐτῶν τὰ γεώργια καὶ τὰς οἰκίας καθεῖλεν. ὅμοιον δὲ τῷ· ὁ Καρπάθιος τὸν λαγῳόν. φασὶ γὰρ διὰ τὸ μὴ εἶναι εἰς Κάρπαθον λαγῳοὺς ἐπικομίσασθαί τινα ὡς εἰς ἐπιγέννημα· ἀφ’ ὧν τοσούτους γενέσθαι, ὡς καὶ τοὺς καρποὺς αὐτῶν χαλεπῶς βλάπτειν.

οι 122 Οἰνόη καὶ Οἰνέως: δῆμος τῆς Ἱπποθοωντίδος πρὸς Ἐλευθέραις, ὁ δὲ τῆς Αἰαντίδος, πρὸς Μαραθῶνα. ἀφ’ ἑκατέρου δὲ τῶν δήμων ὁ δῆμος τῆς Οἰνέως.

οι 123 Οἰνόμαος, Γαδαρεύς, φιλόσοφος Κυνικός, γεγονὼς οὐ πολλῷ πρεσβύτερος Πορφυρίου. Περὶ Κυνισμοῦ, Πολιτείαν, Περὶ τῆς καθ’ Ὅμηρον φιλοσοφίας, Περὶ Κράτητος καὶ Διογένους καὶ τῶν λοιπῶν.

οι 124 Οἱ Νομοφύλακες τίνες· ἔδοξέ τισι τοὺς αὐτοὺς εἶναι τοῖς θεσμοθέταις· ἀλλ’ οὐκ ἔστιν οὕτως· οἱ μὲν γὰρ θεσμοθέται κατὰ τὰ πάτρια ἐστεφανωμένοι ἐπὶ τὸν Ἄρειον ἀνέβαινον πάγον, οἱ δὲ νομοφύλακες στροφίοις λευκοῖς ἐχρῶντο καὶ ἐν ταῖς θέαις ἐπὶ θρόνων ἐκάθηντο κατ’ ἀντικρὺ τῶν ἐννέα ἀρχόντων· καὶ τῇ Παλλάδι τὴν πομπὴν ἐκόσμουν, ὅτε κομίζοιτο τὸ ξόανον ἐπὶ τὴν θάλασσαν· ἠνάγκαζον δὲ καὶ τὰς ἀρχὰς χρῆσθαι τοῖς νόμοις· καὶ ἐν ταῖς ἐκκλησίαις ἐκάθηντο μετὰ τῶν προέδρων, κωλύοντες ψηφίζειν, εἴ τι παράνομον αὐτοῖς εἶναι δόξειεν, ἀσύμφορον τῇ πόλει.

οι 125 Οἰνόω, οἰνῶ: τὸ μεθύσκω.

οι 126 Οἰνοπέπαντοι· βότρυες οἰνοπέπαντοι, ἐϋσχίστοιό τε ῥοιῆς θρύμματα.

οι 127 Οἰνοπίωνος.

οι 128 Οἰνοπίπας: τὰς οἴνους περισκοπούσας, ὡς Ὅμηρος παρθενοπῖπα, φησὶν Ἀριστοφάνης· ποῦ δ’ οὐχὶ διαβέβληχ’, ὅπουπερ ἔμβραχυ οἷς θέα καὶ τραγῳδία καὶ χοροί; τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν, τὰς οἰνοπίπας, τὰς προδότιδας, τὰς λάλους, τὰς οὐδὲν ὑγιές, τὰς μέγ’ ἀνδράσι κακόν. ὁ μὲν οὖν Σύμμαχός φησι παρὰ τὸ πιπίζειν τὸν οἶνον· ἐγὼ δὲ οὐχ ὁρῶ τὸ πιπίζειν ἐπὶ ταύτης τῆς ἐννοίας παρὰ τοῖς Ἀττικοῖς κείμενον, ἀλλὰ κατὰ μίμησιν φωνῆς λεγόμενον. ἄμεινον οὖν, ὥσπερ παιδοπίπης λέγεται, οὕτω καὶ οἰνοπίπης. οἰνοπίπας οὖν ἀντὶ τοῦ μεθύσους· παρὰ τὸ πιπίζειν, ὅ ἐστι μύζειν, ἢ μυζᾶν.

οι 129

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οἰνοποτάζων: οἰνοποτῶν, εὐωχούμενος ἐν συμποσίῳ. παρὰ τὸν οἶνον αἱ καυχήσεις γίνονται.

οι 130 Οἰνοπώλια.

οι 131 Οἰνοποσία.

οι 132 Οἰνοπότης: διὰ τοῦ ο μικροῦ. ὦ ξένε, τόνδε τάφον Ἀνακρείοντος ἀμείβων, σπεῖσόν μοι παριών, εἰμὶ γὰρ οἰνοπότης.

οι 133 Οἶνος: ἐπὶ θεοῦ ἡ τιμωρία. Δαβίδ· ὅτι ποτήριον ἐν χειρὶ κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος.

οι 134 Οἶνος ἄνευ παίδων: δύο παροιμίαι, ἡ μὲν οἶνος καὶ ἀλήθεια, ἡ δ’ οἶνος καὶ παῖδες ἀληθεῖς. λαμβάνεται ἐπὶ τῶν ἁπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων. λύσις ὀνείρων Νικηφόρου πατριάρχου· οἶνος κενωθεὶς ἀγγείων παύει λύπας. οἶνος ῥυπώδης ἐκτρανοῖ πολλὰς λύπας. οἴνου μετασχὼν προσδόκα δεινὰς μάχας.

οι 135 Οἶνος: ὠνομάσθη ἀπὸ Οἰνέως· Οἰνεὺς δ’ ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν οἶνον ἔκλησε. Πλάτων δὲ οἰόνουν αὐτόν φησιν, διὰ τὸ οἰήσεως τὸν νοῦν ἡμῶν ἐμπιπλᾶν· ἢ ἀπὸ τῆς ὀνήσεως· Ὅμηρος· ὀνήσεαι, αἴκε πίησθα. καὶ τὰ βρώματα ὀνείατα ἀπὸ τοῦ ὀνίσκειν ἡμᾶς. ὁ δὲ Κύπριος ποιητής φησιν· οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας. Εὐβούλου στίχοι εἰς οἶνον· τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγείας ἕνα, ὃν πρῶτον ἐκπίνουσι· τὸν δὲ δεύτερον ἔρωτος ἡδονῆς τε· τὸν τρίτον δ’ ὕπνου· ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι οἴκαδε βαδίζουσιν· ὁ δὲ τέταρτος οὐκέτι ἡμέτερός ἐστιν, ἀλλ’ ὕβρεως· ὁ δὲ πέμπτος βοῆς· ἕκτος δὲ κώμων· ἕβδομος δ’ ὑπωπίων· ὄγδοος κλήτορος· ὁ δ’ ἔνατος χολῆς· δέκατος δὲ μανίας· ὥς τ’ ἐκβάλλειν ποιεῖ. πολὺς γὰρ εἰς ἓν ἀγγεῖον χυθεὶς ὑποσκελίζει τοὺς πεπωκότας. καὶ Ἐπίχαρμος· ἐκ μὲν θυσίας θοίνη, ἐκ δὲ θοίνης πόσις ἐγένετο. ἐκ πόσιος κῶμος· ἐκ κώμου θυανία, ἐκ δὲ θυανίας δίκη· ἐκ δὲ καταδίκης πέδαι τε καὶ σφάκελος καὶ ζημία. καὶ Πανύασσις· οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ, ἐσθλὸν δ’ ἀλεξίκακον, πάσῃ συνοπηδὸν ἀνίῃ. ἦν δὲ καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν· ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς.

οι 136 Οἴνου πιεῖν. οἱ προσιόντες τῶν ἰατρῶν ἐκέλευον οἶνον πιεῖν· τὸ γάρ τοι σεσῶσθαι ἢ μὴ τὸν ἄνθρωπον, ἐν τούτῳ ἔφασκον ἄρα ἐκεῖνοι τῇ τέχνῃ πίσυνοι. οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον; παρὰ τὸ Ὁμηρικόν· ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει. Ἡρόδοτος δὲ λέγει Πέρσας τοῦτον κρατεῖν τὸν τύπον· εἰ μὲν οὖν εἰσηγήσαιντό τινα νήφοντες, βουλεύεσθαι περὶ τούτου ἐν μέθῃ· εἰ δὲ εἰσηγήσαιντο ἐν μέθῃ, τοῦτο κυροῦν νήφοντας. οἴνου, ἔφη, τοσοῦτον πίνω, ὅσον τῷ ἡλίῳ σπένδω. ὁ Πῶρός φησιν, ὁ Ἰνδῶν βασιλεύς.

οι 137 Οἰνοῦττα: ἡ ἐν οἴνῳ πεφυρμένη μάζα· οἱ δὲ εἶδος πλακοῦντος, μετ’ οἴνου καὶ μέλιτος γινόμενον.

οι 138 Οἰνοχοεῖ: κιρνᾷ. καὶ Οἰνοχόος, πιγκέρνης. καὶ Οἰνοχοεία.

οι 139 Οἶνοψ, οἴνοπος. Οἴνοπι, μέλανι· ἐν Ἐπιγράμμασι· ὧν ἡμεῖς σπείσαντες, ὅσον θέμις, οἴνοπι Βάκχῳ καὶ Σατύροις. Οἰνωπὸς δὲ οἰνώδης, διαυγής· ἢ μέλανος. Οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

οι 140 Οἰνωθήσεσθαι μέν, οὐ μεθυσθήσεσθαι δέ.

οι 141 Οἰνωτρία: ὄνομα τόπου.

οι 142 Οἴξας: ἀνοίξας.

οι 143 Οἰοβώτης: αὐθαίρετος. ὡς ἂν εἴποι τις, αὐτὸς ἑαυτοῦ τὴν διάνοιαν βόσκων καὶ μηδενὶ πειθόμενος, μονότροπος, μεμονωμένος, τῷ λογισμῷ μονωθείς, ἐκτὸς φρενός. νῦν αὖ φρενὸς οἰοβώτας φίλοις μέγα πένθος εὕρηται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οι 144 Οἰόθεν οἶος: ἐκ μόνου μόνος. θέλει δὲ εἰπεῖν, μόνος πρὸς μόνον.

οι 145 Οἰόμενος: νομίζων.

οι 146 Οἶον: τὸ θαυμαστικόν. οὐκ ἔτ' ἄνδρα μὴ τόνδ' ἴδητ'· ἔπος ἐξερέω μεγ', οἶον. Ἀριστοφάνης περὶ Κλέωνος· οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει. διὰ τοῦ σχήματος τὴν ἀδηφαγίαν αὐτοῦ δηλοῖ. καὶ γὰρ τῶν ἀνθρώπων καὶ τῶν θρεμμάτων οἱ μάλιστα τοῖς ἐδέσμασιν ἐγκεκυφότες καὶ προσκείμενοι δοκοῦσιν ἀπλήστως καὶ περισπουδάστως ἐσθίειν.

οι 147 Οἷον: τὸ ἀνταποδοτικὸν 〈τοῦ〉 τοιοῦτον, καὶ τὸ ἐπὶ παραδειγμάτων παραλαμβανόμενον, καὶ τὸ ἐπὶ θαυμασμοῦ. ὡς τό, οὐδὲν γὰρ οἷον τὸ ἀκούειν αὐτοῦ τοῦ νόμου. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. οὐδὲν οὕτως καλόν, οἷον τὸ ἀκούειν αὐτοῦ τοῦ νόμου. καὶ αὖθις· ἀνέμου ἐπιπνεύσαντος οἵου σφοδροτάτου καὶ ἐξάραντος τὴν ἄμμον. καὶ αὖθις· οἱ δὲ δράκοντες τὰ οὐραῖα μέρη ἐς σπείρας ἑλίξαντες καὶ ἐπανιστάμενοι καὶ πῦρ ὁρῶντες οἷον ὀξύτατον. ἐπὶ δὲ θαυμασμοῦ· ἄνθρωπος ἦν ὁ Δημόφιλος, ὁ πατριάρχης Κωνσταντίνου πόλεως, οἷος ἐμπεσὼν ὁμοῦ σύμπαντα φύρειν ἀκόσμῳ φορᾷ, καθάπερ ἄτακτος χειμάρρους πολὺν τὸν συρφετὸν ἄγων.

οι 148 Οἶον: δῆμοι εἰσὶν ἐν τῇ Ἀττικῇ διττοί, οὐδετέρως λεγόμενοι. καλεῖσθαι δέ φασιν αὐτοὺς οὕτως διὰ τὸ μηδαμῶς οἰκητὸν τόπον ἔχειν, ἀλλὰ μεμονῶσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν Οἶον τῆς Ἱπποθοωντίδος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δὲ ἦσαν οἱ λεγόμενοι Οἰῆθεν, ὡς προείρηται.

οι 149 Οἱονεί.

οι 150 Οἷόν τε: δυνατόν, ἀρκούντως ἔχον, κατὰ τὸ δυνατόν.

οι 151 Οἶος: μόνος, ἢ ὁποῖος. ὁ δὲ ἐπολυπραγμόνησε πάντα· ἦν γὰρ οἷος μηδὲν μήτ' ἀνθρώπειον μήτε θεῖον ἀδιερεύνητον ἐᾶν.

οι 152 Οἶος: μόνος. παρὰ τὸ ἴος· ἐξ οὗ καὶ ἴα καὶ μία. ἴος δὲ ἀπὸ τοῦ σύ· ἴ· ἴος. ἢ ἀπὸ τοῦ εἷς.

οι 153 Οἷος: ἀντὶ τοῦ ἕτοιμος. καὶ οἷός τε, ἀντὶ τοῦ ἕτοιμος. καὶ οἷος ἦν, ἀντὶ τοῦ ἕτοιμος ἦν. τίθεται δὲ καὶ ἀντὶ τοῦ ἐσπούδαζε. Λυσίας· ἐβιάζετό τε γὰρ καὶ οἷος ἦν ἐξευρεῖν τὴν θύραν. σημαίνει δὲ καὶ τὸ ἀνταποδοτικόν· τοιοῦτος οἷος ἦν ὁ πατήρ.

οι 154 Οἷος: δυνατός. Ἀριστοφάνης· οὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας. ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τοῦ πράγματος. ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἅπερ κινδυνεύει τῆς ἀντλίας πληρωθέντα. βούλεται δὲ εἰπεῖν, ὅτι νικῶμαι ὑπὸ τοῦ πράγματος. καὶ αὖθις· σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.

οι 155 Οἷος: ὁποῖος. ὦ δύσμορ' Αἶαν, οἷος ὢν οἵως ἔχεις· ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

οι 156 Οἷος εἶ καὶ οἷός τε εἶ: τὸ μὲν χωρὶς τοῦ τε σημαίνει τὸ βούλει καὶ προῄρησαι, τὸ δὲ σὺν τῷ τε δύνασθαι. ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο.

οι 157 Οἴω: τὸ φέρω· αἰτιατικῇ.

οι 158 Οἰῶ: ἀντὶ τοῦ οἴομαι. ἀλλ' ἀρχὰ μέν, οἰῶ, Λαμπιτώ. ἀντὶ τοῦ ὡς οἴομαι, ἀρχὴ τῆς μάχης ἡ Λαμπιτώ.

οι 159 Οἰώθη: ἐμονώθη.

οι 160 Οἰωνισάμενος: μαντευσάμενος, ὀττευσάμενος. δαιμονίως πως οἰωνισάμενος τὸ μέλλον.

οι 161 Οἰωνίζοντο: ἀπετρέποντο ὡς κακῷ οἰωνῷ. τὸν δὲ ἡ μὲν νεότης ἐμίσουν τε καὶ οἰωνίζοντο, οἱ δὲ πρεσβύτεροι κατησπάζοντο καὶ ἐπῄνουν. καὶ αὖθις· ξὺν αἰσιωτέροις τοῖς οἰωνοῖς καὶ παρασκευῇ βεβαιοτέρᾳ αὖθις ἅψασθαι τοῦ πολέμου. καὶ αὖθις· ὅτε πάντας οἰωνίζεσθαι προσδοξάζοντας τὸν Αἰμίλιον ἐκπορευόμενον δοκεῖν ὁρᾶν εἰσπορευόμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οι 162 Οἰώνισμα. καὶ Οἰωνισμοί, αἱ διὰ τῶν πτηνῶν περιεργίαι.

οι 163 Διαίρεσις οἰωνιστικῆς. Οἰωνιστική· ταύτην εὗρον πρῶτοι Φρύγες. ταύτης δὲ τὸ μέν ἐστιν ὀρνεοσκοπικόν· οἷον ὅταν πετομένου τοῦδε τοῦ ὄρνιθος, ἔμπροσθεν ἢ ὄπισθεν δεξιὰ ἢ ἀριστερὰ νεύοντος, εἴποι τις, ὅτι τόδε σημαίνει. πρῶτος δὲ ἔγραψε περὶ τούτου Τηλέγονος. τὸ δὲ οἰκοσκοπικόν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα· οἷον εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ ὄφις ἢ ἔλαιον ἐχέθη ἢ μέλι ἢ οἶνος ἢ ὕδωρ ἢ τέφρα· ἢ τρισμὸς ἐγένετο ξύλων ἢ ἄλλο τι, τόδε προμηνύει· ὃ συνέγραψε Ξενοκράτης. τὸ δὲ ἐνόδιον, ὡς ὅταν ἐξηγήσηταί τις τὰ ἐν τῇ ὁδῷ ἀπαντῶντα· ὅτι ἐὰν ἀπαντήσῃ σοί τις τόδε βαστάζων, τόδε συμβήσεταί σοι· ὃ συνέγραψε Πόλλης· τὸ δὲ χειροσκοπικόν, ὡς ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν διατεινομένων καὶ τῆς παλάμης, ἀπὸ τῶν ῥυτίδων εἴπωμεν, παιδοποιεῖ ἤ τι τοιοῦτον· ὃ συνέγραψεν Ἕλενος. παλμικὸν δὲ τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον, ἐπάλθη ὁ δεξιὸς ἢ ὁ ἀριστερὸς ὀφθαλμὸς ἢ ὦμος ἢ μηρός· ἢ κνησμὸς ἐν τῷ ποδί, ἢ πρὸς τὸ οὖς ἦχος ἐγένετο, τόδε συμβαίνει· ὃ συνέγραψε Ποσειδώνιος.

οι 164 Οἰνόβρωτος: ὀρνεόβρωτος.

οι 165 Οἰωνομαντεία.

οι 166 Οἰωνός: τὸ σημεῖον. καὶ Οἰωνοσκόπος, ὁ μάντις.

οι 167 Οἰωνοί: σαρκοφάγα ὄρνεα· ἢ σύμβολα. πάντα δὲ οἰωνοὺς ἐκάλουν, καὶ τὰ μὴ ὄρνεα. θεράποντ’ ὄρνιν. Ἀριστοφάνης. ἐπεὶ πολλάκις εἰώθαμεν λέγειν τινὰς τῶν θεραπόντων καλόποδας καὶ καλλοιωνίστους. ὄρνιν νομίζοντες πάνθ’ ὅσαπερ περὶ μαντείας διακρίνει.

οι 168 Οἶς, οἰός: τὸ πρόβατον.

οι 169 Οἰσέα: εἶδος φυτοῦ.

οι 170 Οἶσε: προσήγαγε, συνῆξεν. ἑαυτῇ μὲν πλοῦτον οὐκ εὐκαταφρόνητον οἶσεν, ἐκεῖνον δὲ κατὰ βαιὸν τηκόμενον τῷ ἔρωτι ἀπήλλαξε τῶν τῇδε.

οι 171 Οἴσεται: λήψεται.

οι 172 Οἴσει: κομίσει. καὶ Οἴσω, κομίσω, ἐνέγκω.

οι 173 Οἶσθα: ἀντὶ τοῦ οἶδας. λέγεται καὶ χωρὶς τοῦ ς, μετὰ δὲ τοῦ ς ποτὲ ἢ διὰ μέτρον, ἢ διὰ τὸ μὴ συγκροῦσαι σύμφωνον, οἶσθας. Σοφοκλῆς· οἶσθ’, ὡς ποιήσων. ἀντὶ τοῦ ποιήσεις, Ἀττικῶς. καὶ αὖθις· οἶσθά τινας ἐν λογιστηρίοις ἀποδύντας ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν ἀπὸ μόνου τοῦ τὸν θεὸν ὀμόσαι καὶ κατομόσαι Πλατωνικῶς· οὓς φθάσειεν ἂν ἡ σκιὰ φθεγξαμένη τι τῶν δεόντων. λέγεται καὶ ἔξοισθα. Σοφοκλῆς· καὶ σύ που παρὼν ἔξοισθ’, ὑφηγητῆρος οὐδενὸς φίλων, ἀλλ’ αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.

οι 174 Οἰσόμενος: κομίσων.

οι 175 Οἰσοφάγος: ὁ λαιμός.

οι 176 Οἴσπη: ῥυπαρῶν προβάτων ἔρια. Ἡρόδοτος. καὶ Οἰσπώτη, ὁ ῥύπος τῶν ἐρίων.

οι 177 Οἰστά: φορητά. Θουκυδίδης· ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου οἰστὰ αὐτοῖς ἐφαίνετο. καὶ αὖθις· καῦμά τε ἐπιφλέγειν ἔλεγον οὐδαμῇ οἰστόν. καὶ αὖθις· καὶ εἰ μὲν ἐπὶ μικροῖς εἴη διάφορον κακόν, οἰστὸν δὲ ὅμως πόσῳ γίνεται.

οι 178 Οἰστρεῖ: ἐρεθίζει, ἐκμαίνει. Ἀππιανός· τῷ ὄντι πᾶσιν οἰστρώδης ἐνέπιπτεν ὁρμὴ καὶ προθυμία κατὰ τῶν βαρβάρων. καὶ αὖθις· καὶ ταῦτα μὲν ἔδρασεν ὥσπερ οἰστρηθεὶς καὶ κάτοινος γενόμενος. καὶ Αἰλιανός· καὶ καλῶς Ἡρόδοτος τὰς ὑπὲρ τῶν γυναικῶν οἰστρήσεις τε καὶ μανίας παρ’ οὐδὲν ἐτίθετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οι 179 Οἴστρησις: ἡ θηλυμανία. καὶ Οἰστρηλατούμενοι, πυρούμενοι, ἐκμαινόμενοι.

οι 180 Οἰστροπλῆγα: τῇ μανίᾳ πεπληγότα. εἴρηται δὲ ἀπὸ τοῦ οἴστρου, ὅς ἐστι μυῖα ὑπόχαλκος, ἐγχρίμπτουσα ἐν τῷ καύματι τοῖς βουσὶ καὶ ποιοῦσα ἐλαύνεσθαι.

οι 181 Οἶστρος: ἐρεθισμός, ἔκκαυσις, πύρωσις ἐμμανής. Οἶστρον δὲ καλοῦσι πᾶσαν κίνησιν. ἔνθεν καὶ οἰστροδόνητος μυχός, ὁ ὑπὸ ἀνέμου ἐλαυνόμενος. Ἀριστοφάνης· σύ τε Πόντιε Πόσειδον, προλιπὼν μυχὸν ἰχθυόεντ' οἰστροδόνητον. καὶ Πισίδης· οἶστρος γάρ ἐστι, καὶ μάλιστα βαρβάροις, πρὸς τὰς μεταβολὰς εὐμεταπτώτως ἔχειν.

οι 182 Οἰσύα: ἰτέα.

οι 183 Οἰσυΐναις· Θουκυδίδης· ναύταις ἐξώπλισεν ἀσπίσι φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς. καὶ Εὐνάπιος· οἱ δὲ τῶν Πάρθων οἰσυΐνας ἀσπίδας ἔχοντες καὶ κράνη οἰσύϊνα, πλοκήν τινα πάτριον πεπλεγμένα. καὶ Οἰσύϊνον. σχοινίον ἰτέας.

οι 184 Οἰσύμη: πόλις τῆς Θρᾴκης.

οι 185 Οἰσύπη: ὁ ῥύπος τῶν ἐρίων.

οι 186 Οἰσυπηρός: ῥυπαρός. Ἔρια οἰσυπηρά, ῥύπου πεπληρωμένα, ῥυπάσματα ἀπὸ τῆς κόπρου. οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων.

οι 187 Οἴτη: ὄνομα ὄρους ἐν Λακεδαιμονίᾳ. καὶ Οἰταῖος, ἀπὸ τοῦ αὐτοῦ ὄρους.

οι 188 Οἶτος: ὁ μόρος. ἐν Μυθικοῖς· οὔτι δίκης ἀπάνευθεν ἀεικέϊ δάμναμαι οἴτῳ.

οι 189 Οἶοι: μόνοι, ἢ δυνατοί.

οι 190 Οἶφι: χοῖνιξ.

οι 191 Οἰχαλῆες: ἀπὸ τόπου.

οι 192 Οἴχεται: πορεύεται. καὶ Οἰχήσομαι, πορεύσομαι.

οι 193 Οἰχνῶ: περιέρχομαι. τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ. Ἠλέκτρα φησί.

οι 194 Οἰχόμενος: πορευόμενος.

οι 195 Οἴχωκ', ὄλωλα, διαπεπόρθημαι φίλοι· Τέκμησσά φησι διὰ τὸν Αἴαντος θάνατον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org